GREEK SERIES · VOLUME 71

Statesman, Philebus, and Parmenides

Plato

ΠΟΛΙΤΙΚΟΣ
ΦΙΛΗΒΟΣ
ΠΑΡΜΕΝΙΔΗΣ

Statesman, Philebus, and Parmenides

Three Late Dialogues on Rule, Pleasure, and the One

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 71 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Burnet's Oxford Plato

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words Burnet secludes are not printed; words
he supplies are printed without their brackets.

CONTENTS

STATESMAN

I · The Statesman a Knower 11
II · The Self-Commanding Art 20
III · Parts and Kinds 27
IV · The Featherless Biped 33
V · The Rivals 44
VI · The Reversed Cosmos 51
VII · The Age of Cronus 60
VIII · Care, Not Rearing 68
IX · A Pattern 75
X · Weaving 81
XI · Warp and Woof 90
XII · The Mean 98
XIII · Contributory Arts 106
XIV · Servants and Sophists 116
XV · Knowledge the Mark 123
XVI · Written Law 132
XVII · The Assembly's Medicine 142

STATESMAN

(continued)

XVIII · Ranking the Constitutions 151
XIX · Rhetoric, Generalship, Judging 160
XX · Courage and Moderation 167
XXI · The Royal Weaving 177

PHILEBUS

I · Pleasure or Prudence 189
II · Many Pleasures, Many Knowledges 194
III · The Gods' Gift 200
IV · Letters and Music 206
V · A Third Better Than Both 213
VI · Three Lives 219
VII · The Unlimited and the Limit 225
VIII · The Mixed Kind 232
IX · Where Mind Belongs 239
X · The Mind of the Whole 245
XI · Pleasure and Restoration 252
XII · Memory and Desire 258
XIII · True and False Pleasures 269
XIV · The Scribe and the Painter 277
XV · Near and Far 288
XVI · The Harsh Ones 298
XVII · Mixtures in the Soul 307
XVIII · The Ridiculous 314
XIX · Pure Pleasures 320
XX · Pleasure as Coming-to-Be 326

PHILEBUS

(continued)

XXI · The Exactness of Knowledges 336
XXII · The Mixing Bowl 345
XXIII · At the Porch of the Good 355
XXIV · The Ranking of Goods 364

PARMENIDES

I · Antiphon's Story 375
II · Zeno's Book 380
III · Which Forms 385
IV · The Third Man 392
V · The Greatest Difficulty 399
VI · The Exercise 406
VII · If One Is: Neither Whole nor in Place 410
VIII · Not Even One 417
IX · The One That Is 424
X · Whole and Parts, Same and Other 432
XI · Like and Unlike, Touching, Equal 441
XII · Greater, Less, and Time 449
XIII · Becoming Older and Younger 458
XIV · The Instant 463
XV · The Others If One Is 468
XVI · The Others Apart from the One 473
XVII · If One Is Not 477
XVIII · Not in Any Way 485
XIX · The Others If One Is Not 488

PLATO

ΠΟΛΙΤΙΚΟΣ

Statesman

Socrates thanks Theodorus for introducing Theaetetus and the stranger, and Theodorus asks the stranger to take the statesman or the philosopher next; he takes the statesman. Young Socrates, Socrates' namesake, takes the tired Theaetetus' place as answerer. The stranger divides knowledge into the practical and the cognitive, and finds that statesman, king, master, and householder have one knowledge. A king rules by understanding more than by hand, so his art is cognitive, like the master builder's, who directs the workmen without working himself.

SOC. ἦ πολλὴν χάριν ὀφείλω σοι τῆς Θεαιτήτου 257
truly much gratitude I-owe to-you for-the of-Theaetetus
γνωρίσεως, ὦ Θεόδωρε, ἅμα καὶ τῆς τοῦ ξένου.
acquaintance O Theodorus at-the-same-time also for-the of-the stranger
THEOD. τάχα δέ, ὦ Σώκρατες, ὀφειλήσεις ταύτης τριπλασίαν·
soon but O Socrates you-will-owe of-this threefold
ἐπειδὰν τόν τε πολιτικὸν ἀπεργάσωνταί σοι καὶ τὸν
when — both statesman they-work-out for-you and the
φιλόσοφον.
philosopher
SOC. εἶεν· οὕτω τοῦτο, ὦ φίλε Θεόδωρε, φήσομεν ἀκηκοότες
well so this O dear Theodorus shall-we-say having-heard
εἶναι τοῦ περὶ λογισμοὺς καὶ τὰ γεωμετρικὰ κρατίστου;
to-be from-the about calculations and the geometrical(-things) best
THEOD. πῶς, ὦ Σώκρατες; b
how O Socrates
SOC. τῶν ἀνδρῶν ἕκαστον θέντος τῆς ἴσης ἀξίας, οἳ
of-the men each having-set at-the equal worth who
τῇ τιμῇ πλέον ἀλλήλων ἀφεστᾶσιν ἢ κατὰ τὴν
in-the honor more (from)-one-another stand-apart than according-to the
ἀναλογίαν τὴν τῆς ὑμετέρας τέχνης.
proportion the — of-your art

c THEOD. εὖ γε νὴ τὸν ἡμέτερον θεόν, ὦ Σώκρατες, τὸν
well at-least by — our god O Socrates —
Ἄμμωνα, καὶ δικαίως, καὶ πάνυ μὲν οὖν μνημονικῶς
Ammon both justly and certainly indeed then with-good-memory
ἐπέπληξάς μοι τὸ περὶ τοὺς λογισμοὺς ἁμάρτημα. καὶ
you-rebuked me the about the calculations error and
σὲ μὲν ἀντὶ τούτων εἰς αὖθις μέτειμι· σὺ δ'
you indeed in-return-for these-things at another-time I-shall-go-after you and
ἡμῖν, ὦ ξένε, μηδαμῶς ἀποκάμῃς χαριζόμενος, ἀλλ' ἑξῆς,
for-us O stranger in-no-way grow-weary obliging(-us) but in-order
εἴτε τὸν πολιτικὸν ἄνδρα πρότερον εἴτε τὸν φιλόσοφον
whether the statesman man first or the philosopher
προαιρῇ, προελόμενος διέξελθε.
you-prefer having-chosen go-through
STR. ταῦτ', ὦ Θεόδωρε, ποιητέον· ἐπείπερ ἅπαξ γε
these-things O Theodorus must-be-done since once at-least
ἐγκεχειρήκαμεν, οὐκ ἀποστατέον πρὶν ἂν αὐτῶν πρὸς
we-have-set-our-hand not one-must-stand-aside before — of-them to
τὸ τέλος ἔλθωμεν. ἀλλὰ γὰρ περὶ Θεαιτήτου τοῦδε τί
the end we-come but for about Theaetetus here what
χρὴ δρᾶν με;
must to-do I
THEOD. τοῦ πέρι;
— about
STR. διαναπαύσωμεν αὐτὸν μεταλαβόντες αὐτοῦ τὸν
let-us-rest him taking-in-his-place of-him the
συγγυμναστὴν τόνδε Σωκράτη; ἢ πῶς συμβουλεύεις;
fellow-gymnast here Socrates or how do-you-advise
THEOD. καθάπερ εἶπες, μεταλάμβανε· νέω γὰρ ὄντε
as you-said take-him-in-turn young for being-the-two
ῥᾷον οἴσετον πάντα πόνον ἀναπαυομένω.
more-easily the-two-will-bear all toil resting(-in-turn)

SOC. καὶ μὴν κινδυνεύετον, ὦ ξένε, ἄμφω ποθὲν ἐμοὶ d
and indeed you-two-run-the-risk O stranger both from-somewhere to-me
συγγένειαν ἔχειν τινά.
kinship to-have some
τὸν μέν γε οὖν ὑμεῖς κατὰ τὴν τοῦ προσώπου 258
the-one indeed at-least then you according-to the of-the face
φύσιν ὅμοιον ἐμοὶ φαίνεσθαί φατε, τοῦ δ' ἡμῖν ἡ
nature like to-me to-appear you-say of-the-other and to-us the
κλῆσις ὁμώνυμος οὖσα καὶ ἡ πρόσρησις παρέχεταί τινα
name of-the-same-name being and the address furnishes some
οἰκειότητα. δεῖ δὴ τούς γε συγγενεῖς ἡμᾶς ἀεὶ προθύμως
kinship must indeed — at-least kinsmen us always eagerly
διὰ λόγων ἀναγνωρίζειν. Θεαιτήτῳ μὲν οὖν αὐτός τε
through arguments to-recognize with-Theaetetus indeed then myself both
συνέμειξα χθὲς διὰ λόγων καὶ νῦν ἀκήκοα ἀποκρινομένου,
I-mixed yesterday through arguments and now I-have-heard answering
Σωκράτους δὲ οὐδέτερα· δεῖ δὲ σκέψασθαι καὶ τοῦτον.
Socrates but neither-way must and to-examine also this-one
ἐμοὶ μὲν οὖν εἰς αὖθις, σοὶ δὲ νῦν ἀποκρινέσθω.
with-me indeed then at another-time with-you but now let-him-answer
STR. ταῦτ' ἔσται. ὦ Σώκρατες, ἀκούεις δὴ Σωκράτους;
these-things will-be O Socrates do-you-hear indeed Socrates
Y. SOC. ναί.
yes
STR. συγχωρεῖς οὖν οἷς λέγει;
do-you-agree then (with-what)-which he-says
Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then
STR. οὐ τὰ σὰ κωλύειν φαίνεται, δεῖ δὲ ἴσως ἔτι b
not the your(-part) to-hinder it-appears must and perhaps still
ἧττον τἀμὰ διακωλύειν. ἀλλὰ δὴ μετὰ τὸν σοφιστὴν
less the-mine to-hinder but indeed after the sophist

ἀναγκαῖον, ὡς ἐμοὶ φαίνεται, πολιτικὸν διαζητεῖν νῷν·
necessary as to-me it-appears the-statesman to-search-for for-us-two
καί μοι λέγε πότερον τῶν ἐπιστημόνων τιν' ἡμῖν καὶ
and to-me say whether of-the knowers some for-us also
τοῦτον θετέον, ἢ πῶς;
this-one must-be-set or how

Y. SOC. οὕτως.
so

STR. τὰς ἐπιστήμας ἄρα διαληπτέον, ὥσπερ ἡνίκα τὸν
the knowledges then must-be-divided as when the
πρότερον ἐσκοποῦμεν;
former(-one) we-were-examining

Y. SOC. τάχ' ἄν.
perhaps —

STR. οὐ μὲν δὴ κατὰ ταὐτόν γε, ὦ Σώκρατες,
not indeed indeed according-to the-same at-least O Socrates
φαίνεταί μοι τμῆμα.
appears to-me the-cut

Y. SOC. τί μήν;
what indeed

c STR. κατ' ἄλλο.
according-to another

Y. SOC. ἔοικέν γε.
it-seems at-least

STR. τὴν οὖν πολιτικὴν ἀτραπὸν πῇ τις ἀνευρήσει; δεῖ
the then statesman's path where will-one find-out must
γὰρ αὐτὴν ἀνευρεῖν, καὶ χωρὶς ἀφελόντας ἀπὸ τῶν ἄλλων
for it to-find-out and apart having-taken-away from the others
ἰδέαν αὐτῇ μίαν ἐπισφραγίσασθαι, καὶ ταῖς ἄλλαις ἑκτροπαῖς
form to-it one to-stamp-on and on-the other by-paths

ἓν ἄλλο εἶδος ἐπισημηναμένους πάσας τὰς ἐπιστήμας ὡς
one other form having-marked all the knowledges as
οὔσας δύο εἴδη διανοηθῆναι τὴν ψυχὴν ἡμῶν ποιῆσαι.
being two forms to-think the soul our to-make
Y. SOC. τοῦτ᾽ ἤδη σὸν οἶμαι τὸ ἔργον, ὦ ξένε, ἀλλ᾽ οὐκ
this already yours I-think the task O stranger but not
ἐμὸν γίγνεται.
mine becomes
STR. δεῖ γε μήν, ὦ Σώκρατες, αὐτὸ εἶναι καὶ σόν, d
must at-least indeed O Socrates it to-be also yours
ὅταν ἐμφανὲς ἡμῖν γένηται.
whenever clear to-us it-becomes
Y. SOC. καλῶς εἶπες.
well you-said
STR. ἆρ᾽ οὖν οὐκ ἀριθμητικὴ μὲν καί τινες ἕτεραι ταύτῃ
so then not arithmetic indeed and some other in-this-way
συγγενεῖς τέχναι ψιλαὶ τῶν πράξεών εἰσι, τὸ δὲ γνῶναι
akin arts bare of-the actions are the but to-know
παρέσχοντο μόνον;
furnished only
Y. SOC. ἔστιν οὕτως.
it-is so
STR. αἱ δέ γε περὶ τεκτονικὴν αὖ καὶ σύμπασαν e
the(-ones) and at-least about carpentry again and all
χειρουργίαν ὥσπερ ἐν ταῖς πράξεσιν ἐνοῦσαν σύμφυτον τὴν
handicraft as in the actions being-in grown-in the
ἐπιστήμην κέκτηνται, καὶ συναποτελοῦσι τὰ γιγνόμενα
knowledge possess and help-to-complete the things-coming-to-be
ὑπ᾽ αὐτῶν σώματα πρότερον οὐκ ὄντα.
by them bodies before not being
Y. SOC. τί μήν;
what indeed

STR. ταύτῃ τοίνυν συμπάσας ἐπιστήμας διαίρει, τὴν μὲν
in-this-way then all knowledges divide the-one indeed
πρακτικὴν προσειπών, τὴν δὲ μόνον γνωστικήν.
practical having-called the-other and only cognitive
Y. SOC. ἔστω σοι ταῦθ' ὡς μιᾶς ἐπιστήμης τῆς ὅλης
let-there-be for-you these as of-one knowledge the whole
εἴδη δύο.
forms two
STR. πότερον οὖν τὸν πολιτικὸν καὶ βασιλέα καὶ δεσπότην
whether then the statesman and king and master
καὶ ἔτ' οἰκονόμον θήσομεν ὡς ἓν πάντα ταῦτα
and further householder shall-we-set as one all these
προσαγορεύοντες, ἢ τοσαύτας τέχνας αὐτὰς εἶναι φῶμεν
addressing or so-many arts them to-be shall-we-say
ὅσαπερ ὀνόματα ἐρρήθη; μᾶλλον δέ μοι δεῦρο ἕπου.
as-many-as names were-spoken rather and me hither follow
Y. SOC. πῇ;
how
259 STR. τῇδε. εἴ τῳ τις τῶν δημοσιευόντων ἰατρῶν ἱκανὸς
this-way if to-anyone someone of-the public-practicing physicians competent
συμβουλεύειν ἰδιωτεύων αὐτός, ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ
to-advise being-a-private-man himself so not necessary for-him
προσαγορεύεσθαι τοὔνομα τῆς τέχνης ταὐτὸν ὅπερ ᾧ
to-be-called the-name of-the art the-same as(-the-one) whom
συμβουλεύει;
he-advises
Y. SOC. ναί.
yes

STR. τί δ'; ὅστις βασιλεύοντι χώρας ἀνδρὶ παραινεῖν
what and whoever (to)-reigning of-a-country man to-advise
δεινὸς ἰδιώτης ὢν αὐτός, ἆρ' οὐ φήσομεν ἔχειν αὐτὸν
clever a-private-man being himself so not shall-we-say to-have him
τὴν ἐπιστήμην ἣν ἔδει τὸν ἄρχοντα αὐτὸν κεκτῆσθαι;
the knowledge which it-was-needful the ruler himself to-have-acquired
Y. SOC. φήσομεν.
we-shall-say
STR. ἀλλὰ μὴν ἥ γε ἀληθινοῦ βασιλέως βασιλική; b
but indeed the at-least of-a-true king kingly(-knowledge)
Y. SOC. ναί.
yes
STR. ταύτην δὲ ὁ κεκτημένος οὐκ, ἄντε ἄρχων ἄντε
this and the(-one) having-acquired(-it) not whether ruler or
ἰδιώτης ὢν τυγχάνῃ, πάντως κατά γε τὴν τέχνην
a-private-man being he-happens wholly according-to at-least the art
αὐτὴν βασιλικὸς ὀρθῶς προσρηθήσεται;
itself kingly rightly will-be-called
Y. SOC. δίκαιον γοῦν.
just at-any-rate
STR. καὶ μὴν οἰκονόμος γε καὶ δεσπότης ταὐτόν.
and indeed householder at-least and master the-same
Y. SOC. τί μήν;
what indeed
STR. τί δέ; μεγάλης σχῆμα οἰκήσεως ἢ σμικρᾶς αὖ
what and of-a-great figure dwelling or of-a-small again
πόλεως ὄγκος μῶν τι πρὸς ἀρχὴν διοίσετον;
city bulk surely-not anything with-respect-to rule will-the-two-differ
Y. SOC. οὐδέν.
nothing

c STR. οὐκοῦν, ὃ νυνδὴ διεσκοπούμεθα, φανερὸν ὡς ἐπιστήμη
therefore what just-now we-were-examining clear that knowledge
μία περὶ πάντ' ἐστὶ ταῦτα· ταύτην δὲ εἴτε βασιλικὴν
one about all is these this but whether kingly
εἴτε πολιτικὴν εἴτε οἰκονομικήν τις ὀνομάζει, μηδὲν
or political or household-managing someone names nothing
αὐτῷ διαφερώμεθα.
with-him let-us-differ

Y. SOC. τί γάρ;
what for

STR. ἀλλὰ μὴν τόδε γε δῆλον, ὡς βασιλεὺς ἅπας χερσὶ
but indeed this at-least clear that king every with-hands
καὶ σύμπαντι τῷ σώματι σμίκρ' ἄττα εἰς τὸ κατέχειν τὴν
and all the body small-things some for the to-hold-fast the
ἀρχὴν δύναται πρὸς τὴν τῆς ψυχῆς σύνεσιν καὶ ῥώμην.
rule is-able compared-with the of-the soul understanding and strength

Y. SOC. δῆλον.
clear

d STR. τῆς δὴ γνωστικῆς μᾶλλον ἢ τῆς χειροτεχνικῆς καὶ
to-the indeed cognitive rather than to-the manual and
ὅλως πρακτικῆς βούλει τὸν βασιλέα φῶμεν οἰκειότερον
wholly practical do-you-wish the king are-we-to-say more-akin
εἶναι;
to-be

Y. SOC. τί μήν;
what indeed

STR. τὴν ἄρα πολιτικὴν καὶ πολιτικὸν καὶ βασιλικὴν
the then political(-knowledge) and statesman and kingly(-knowledge)
καὶ βασιλικὸν εἰς ταὐτὸν ὡς ἓν πάντα ταῦτα συνθήσομεν;
and kingly(-man) into the-same as one all these shall-we-put-together

Y. SOC. δῆλον.
clear

STR. οὐκοῦν πορευοίμεθ' ἂν ἑξῆς, εἰ μετὰ ταῦτα τὴν
therefore we-would-proceed — in-order if after these-things the
γνωστικὴν διοριζοίμεθα;
cognitive(-knowledge) we-were-to-divide
Y. SOC. πάνυ γε.
certainly at-least
STR. πρόσεχε δὴ τὸν νοῦν ἂν ἄρα ἐν αὐτῇ τινα διαφυὴν
apply indeed the mind if then in it some natural-division
κατανοήσωμεν.
we-may-perceive
Y. SOC. φράζε ποίαν.
tell what-sort
STR. τοιάνδε. λογιστική πού τις ἡμῖν ἦν τέχνη. e
such calculation surely some to-us was art
Y. SOC. ναί.
yes
STR. τῶν γνωστικῶν γε οἶμαι παντάπασι τεχνῶν.
of-the cognitive at-least I-think altogether arts
Y. SOC. πῶς δ' οὔ;
how and not
STR. γνούσῃ δὴ λογιστικῇ τὴν ἐν τοῖς ἀριθμοῖς
to-having-known indeed to-calculation the in the numbers
διαφορὰν μῶν τι πλέον ἔργον δώσομεν ἢ τὰ
difference surely-not any more work shall-we-give than the(-things)
γνωσθέντα κρῖναι;
known to-judge
Y. SOC. τί μήν;
what indeed
STR. καὶ γὰρ ἀρχιτέκτων γε πᾶς οὐκ αὐτὸς ἐργατικὸς
and for master-builder at-least every not himself a-workman
ἀλλ' ἐργατῶν ἄρχων.
but of-workmen ruler

Y. SOC. ναί.
yes

STR. παρεχόμενός γέ που γνῶσιν ἀλλ' οὐ χειρουργίαν.
furnishing at-least surely knowledge but not handwork

Y. SOC. οὕτως.
so

II · THE SELF-COMMANDING ART

Cognitive knowledge is judging, like calculation, or commanding, and the king commands. Unlike the herald, who passes on others' orders as the retailer resells others' goods, he gives his own, so his art is self-commanding. It commands for the sake of some coming-to-be, of soulless things or of living ones, and among the living it rears herds, not single animals, like a horse-breeder or cattle-breeder. Whether to call it herd-rearing or common rearing, Young Socrates leaves to the argument.

260 STR. δικαίως δὴ μετέχειν ἂν λέγοιτο τῆς γνωστικῆς
justly indeed to-partake — be-would-be-said of-the cognitive
ἐπιστήμης.
knowledge

Y. SOC. πάνυ γε.
certainly at-least

STR. τούτῳ δέ γε οἶμαι προσήκει κρίναντι μὴ
to-this(-one) but at-least I-think it-belongs having-judged not
τέλος ἔχειν μηδ' ἀπηλλάχθαι, καθάπερ ὁ λογιστὴς
an-end to-have nor to-have-been-released as the calculator
ἀπήλλακτο, προστάττειν δὲ ἑκάστοις τῶν ἐργατῶν τό
was-released to-command but to-each of-the workmen the
γε πρόσφορον ἕως ἂν ἀπεργάσωνται τὸ προσταχθέν.
at-least appropriate(-thing) until — they-work-out the thing-commanded

Y. SOC. ὀρθῶς.
rightly

STR. οὐκοῦν γνωστικαὶ μὲν αἵ τε τοιαῦται σύμπασαι b
therefore cognitive indeed the(-ones) both such all
καὶ ὁπόσαι συνέπονται τῇ λογιστικῇ, κρίσει δὲ καὶ
and as-many-as follow-along the calculation in-judging and also
ἐπιτάξει διαφέρετον ἀλλήλοιν τούτω τὼ γένη;
in-commanding the-two-differ from-one-another these-two the-two kinds
Y. SOC. φαίνεσθον.
they-two-appear(-so)
STR. ἆρ' οὖν συμπάσης τῆς γνωστικῆς εἰ τὸ μὲν
so then of-all the cognitive(-knowledge) if the-one indeed
ἐπιτακτικὸν μέρος, τὸ δὲ κριτικὸν διαιρούμενοι
commanding part the-other and judging dividing
προσείποιμεν, ἐμμελῶς ἂν φαῖμεν διῃρῆσθαι;
we-should-address(-them) fittingly — should-we-say (it)-to-have-been-divided
Y. SOC. κατά γε τὴν ἐμὴν δόξαν.
according-to at-least the my opinion
STR. ἀλλὰ μὴν τοῖς γε κοινῇ τι πράττουσιν
but indeed for-those at-least in-common anything doing
ἀγαπητὸν ὁμονοεῖν.
welcome to-be-of-one-mind
Y. SOC. πῶς δ' οὔ;
how and not
STR. τούτου τοίνυν μέχριπερ ἂν αὐτοὶ κοινωνῶμεν, ἐατέον
of-this then as-long-as — ourselves we-share must-let
τά γε τῶν ἄλλων δοξάσματα χαίρειν.
the at-least of-the others opinions to-fare-well
Y. SOC. τί μήν;
what indeed
STR. φέρε δή, τούτοιν τοῖν τέχναιν ἡμῖν τὸν βασιλικὸν c
come indeed of-these-two the-two arts by-us the kingly(-man)
ἐν ποτέρᾳ θετέον; ἆρ' ἐν τῇ κριτικῇ, καθάπερ τινὰ
in which-of-the-two must-be-set so in the judging(-art) as some

θεατήν, ἢ μᾶλλον τῆς ἐπιτακτικῆς ὡς ὄντα αὐτὸν τέχνης
spectator or rather of-the commanding as being him of-art
θήσομεν, δεσπόζοντά γε;
shall-we-set ruling at-least
Y. SOC. πῶς γὰρ οὐ μᾶλλον;
how for not rather
d STR. τὴν ἐπιτακτικὴν δὴ τέχνην πάλιν ἂν εἴη
the commanding indeed art again — it-would-be
θεατέον εἴ πῃ διέστηκεν. καί μοι δοκεῖ τῇδέ πῃ,
must-be-viewed if somehow it-stands-apart and to-me it-seems in-this-way somehow
καθάπερ ἡ τῶν καπήλων τέχνη τῆς τῶν αὐτοπωλῶν
as the of-the retailers art from-the of-the self-sellers
διώρισται τέχνης, καὶ τὸ βασιλικὸν γένος ἔοικεν ἀπὸ
has-been-distinguished art also the kingly kind seems from
τοῦ τῶν κηρύκων γένους ἀφωρίσθαι.
the of-the heralds kind to-have-been-marked-off
Y. SOC. πῶς;
how
STR. πωληθέντα που πρότερον ἔργα ἀλλότρια παραδεχόμενοι
having-been-sold surely before works of-others receiving
δεύτερον πωλοῦσι πάλιν οἱ κάπηλοι.
second they-sell again the retailers
Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then
STR. οὐκοῦν καὶ τὸ κηρυκικὸν φῦλον ἐπιταχθέντ᾽ ἀλλότρια
therefore also the heraldic tribe commanded of-others
νοήματα παραδεχόμενον αὐτὸ δεύτερον ἐπιτάττει πάλιν
thoughts receiving itself second commands again
ἑτέροις.
to-others
Y. SOC. ἀληθέστατα.
most-truly

STR. τί οὖν; εἰς ταὐτὸν μείξομεν βασιλικὴν ἑρμηνευτικῇ, 261
what then into the-same shall-we-mix kingly(-art) with-interpretive
κελευστικῇ, μαντικῇ, κηρυκικῇ, καὶ πολλαῖς ἑτέραις τούτων
with-boatswain's with-prophetic with-heraldic and many other to-these
τέχναις συγγενέσιν, αἳ σύμπασαι τό γ' ἐπιτάττειν
arts akin which all the at-least commanding
ἔχουσιν; ἢ βούλει, καθάπερ ἠκάζομεν νυνδή, καὶ τοὔνομα
have or do-you-wish as we-were-likening just-now also the-name
παρεικάσωμεν, ἐπειδὴ καὶ σχεδὸν ἀνώνυμον ὂν τυγχάνει
we-may-liken since also nearly nameless being happens
τὸ τῶν αὐτεπιτακτῶν γένος, καὶ ταύτῃ ταῦτα διελώμεθα,
the of-the self-commanders kind and in-this-way these-things let-us-divide
τὸ μὲν τῶν βασιλέων γένος εἰς τὴν αὐτεπιτακτικὴν
the indeed of-the kings kind into the self-commanding(-art)
θέντες, τοῦ δὲ ἄλλου παντὸς ἀμελήσαντες, ὄνομα ἕτερον
having-set of-the and other all having-neglected name another
αὐτοῖς παραχωρήσαντες θέσθαι τινά; τοῦ γὰρ ἄρχοντος
for-them having-left to-set some(-one) of-the for ruler
ἕνεκα ἡμῖν ἡ μέθοδος ἦν ἀλλ' οὐχὶ τοῦ ἐναντίου.
for-the-sake-of for-us the inquiry was but not of-the opposite
Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then
STR. οὐκοῦν ἐπειδὴ τοῦτο μετρίως ἀφέστηκεν ἀπ' ἐκείνων,
therefore since this moderately has-stood-apart from those
ἀλλοτριότητι διορισθὲν πρὸς οἰκειότητα, τοῦτο αὐτὸ
by-foreignness distinguished with-respect-to kinship this itself
πάλιν αὖ διαιρεῖν ἀναγκαῖον, εἴ τινα τομὴν ἔτι ἔχομεν
back again to-divide necessary if some cut still we-have
ὑπείκουσαν ἐν τούτῳ;
yielding in this
Y. SOC. πάνυ γε.
certainly at-least

STR. καὶ μὴν φαινόμεθα ἔχειν· ἀλλ' ἐπακολουθῶν
and indeed we-appear to-have(-one) but following
σύντεμνε.
cut-with(-me)
Y. SOC. πῇ;
how
b STR. πάντας ὁπόσους ἂν ἄρχοντας διανοηθῶμεν ἐπιτάξει
all as-many-as — rulers we-may-think-of command
προσχρωμένους ἆρ' οὐχ εὑρήσομεν γενέσεώς τινος
employing so not shall-we-find of-a-coming-to-be some
ἕνεκα προστάττοντας;
for-the-sake-of commanding
Y. SOC. πῶς δ' οὔ;
how and not
STR. καὶ μὴν τά γε γιγνόμενα πάντα δίχα διαλαβεῖν
and indeed the at-least things-coming-to-be all in-two to-divide
οὐ παντάπασι χαλεπόν.
not altogether hard
Y. SOC. πῇ;
how
STR. τὰ μὲν ἄψυχα αὐτῶν ἐστί που συμπάντων, τὰ δ'
the indeed soulless of-them are surely of-all the and
ἔμψυχα.
ensouled
Y. SOC. ναί.
yes
STR. τούτοις δέ γε αὐτοῖς τὸ τοῦ γνωστικοῦ μέρος
by-these and at-least themselves the of-the cognitive part
ἐπιτακτικὸν ὄν, εἴπερ βουλόμεθα τέμνειν, τεμοῦμεν.
commanding being if-indeed we-wish to-cut we-shall-cut
Y. SOC. κατὰ τί;
according-to what

STR. τὸ μὲν ἐπὶ ταῖς τῶν ἀψύχων γενέσεσιν αὐτοῦ c
the(-one) indeed over the of-the soulless comings-to-be of-it
τάττοντες, τὸ δ' ἐπὶ ταῖς τῶν ἐμψύχων· καὶ πᾶν
placing the(-other) and over the(-ones) of-the ensouled and all
οὕτως ἤδη διαιρήσεται δίχα.
so already will-be-divided in-two
Y. SOC. παντάπασί γε.
altogether at-least
STR. τὸ μὲν τοίνυν αὐτῶν παραλίπωμεν, τὸ δ'
the(-one) indeed then of-them let-us-leave-aside the(-other) and
ἀναλάβωμεν, ἀναλαβόντες δὲ μερισώμεθα εἰς δύο τὸ
let-us-take-up having-taken-up and let-us-divide into two the
σύμπαν.
whole
Y. SOC. λέγεις δ' αὐτοῖν ἀναληπτέον εἶναι πότερον;
you-say and of-the-two to-be-taken-up to-be which-one
STR. πάντως που τὸ περὶ τὰ ζῷα ἐπιτακτικόν. d
wholly surely the(-part) about the living-things commanding
οὐ γὰρ δὴ τό γε τῆς βασιλικῆς ἐπιστήμης ἐστί
not for indeed the at-least of-the kingly knowledge is
ποτε τῶν ἀψύχων ἐπιστατοῦν, οἷον ἀρχιτεκτονικόν, ἀλλὰ
ever over-the soulless presiding like master-building but
γενναιότερον, ἐν τοῖς ζῴοις καὶ περὶ αὐτὰ ταῦτα τὴν
nobler among the living-things and about them these the
δύναμιν ἀεὶ κεκτημένον.
power always having-acquired
Y. SOC. ὀρθῶς.
rightly

STR. τήν γε μὴν τῶν ζῴων γένεσιν καὶ τροφὴν τὴν
the at-least indeed of-the living-things generation and nurture the(-one)
μέν τις ἂν ἴδοι μονοτροφίαν οὖσαν, τὴν δὲ κοινὴν
indeed one — would-see single-rearing being the(-other) and common
τῶν ἐν ταῖς ἀγέλαις θρεμμάτων ἐπιμέλειαν.
of-the in the herds nurslings care
Y. SOC. ὀρθῶς.
rightly
STR. ἀλλ᾽ οὐ μὴν τόν γε πολιτικὸν εὑρήσομεν ἰδιοτρόφον,
but not indeed the at-least statesman we-shall-find a-private-rearer
ὥσπερ βοηλάτην ἤ τινα ἱπποκόμον, ἀλλ᾽ ἱπποφορβῷ τε
as an-ox-driver or some groom but to-a-horse-herder both
καὶ βουφορβῷ μᾶλλον προσεοικότα.
and to-a-cow-herder rather resembling
Y. SOC. φαίνεταί γε δὴ ῥηθὲν νῦν.
it-appears at-least indeed (being)-said now
e STR. πότερον οὖν τῆς ζῳοτροφίας τὴν τῶν συμπόλλων
whether then of-the animal-rearing the of-the many-together
κοινὴν τροφὴν ἀγελαιοτροφίαν ἢ κοινοτροφικήν τινα
common nurture herd-rearing or common-rearing some(-art)
ὀνομάζομεν;
do-we-name
Y. SOC. ὁπότερον ἂν ἐν τῷ λόγῳ συμβαίνῃ.
whichever — in the argument may-turn-out

Young Socrates divides the rearing of men from that of beasts, and the stranger warns that a part must also be a kind. Dividing Greeks from barbarians, or ten thousand from all other numbers, is the mistake; even and odd, male and female, divide by kinds. A kind is always a part of what it is a kind of, but a part need not be a kind. A thinking crane might set cranes against all other animals and call men beasts. The stranger goes back to where they strayed, the rearing of herd animals.

STR. καλῶς γε, ὦ Σώκρατες· κἂν διαφυλάξῃς τὸ μὴ 262
well at-least O Socrates and-if you-preserve the not
σπουδάζειν ἐπὶ τοῖς ὀνόμασιν, πλουσιώτερος εἰς τὸ
to-be-serious about the names richer toward —
γῆρας ἀναφανήσῃ φρονήσεως. νῦν δὲ τοῦτο μέν, καθάπερ
old-age you-will-appear in-prudence now but this indeed as
διακελεύῃ, ποιητέον· τὴν δὲ ἀγελαιοτροφικὴν ἆρ' ἐννοεῖς
you-urge must-be-done the and herd-rearing(-art) so do-you-perceive
πῇ τις δίδυμον ἀποφήνας τὸ ζητούμενον ἐν διπλασίοισι
how one twin having-shown the thing-sought in double-things
τὰ νῦν ἐν τοῖς ἡμίσεσιν εἰς τότε ποιήσει ζητεῖσθαι;
the now in the halves at that-time will-make to-be-sought
Y. SOC. προθυμήσομαι. καί μοι δοκεῖ τῶν μὲν ἀνθρώπων
I-shall-be-eager and to-me it-seems of-the indeed men
ἕτερα τις εἶναι, τῶν δ' αὖ θηρίων ἄλλη τροφή.
another some to-be of-the and again beasts other nurture
STR. παντάπασί γε προθυμότατα καὶ ἀνδρειότατα
altogether at-least most-eagerly and most-bravely
διῄρησαι· μὴ μέντοι τοῦτό γε εἰς αὖθις κατὰ
you-have-divided not however this at-least to another-time according-to
δύναμιν πάσχωμεν.
(our)-power let-us-suffer
Y. SOC. τὸ ποῖον;
the what-sort

b STR. μὴ σμικρὸν μόριον ἓν πρὸς μεγάλα καὶ πολλὰ
not small part one against great and many
ἀφαιρῶμεν, μηδὲ εἴδους χωρίς· ἀλλὰ τὸ μέρος ἅμα
let-us-take-off nor of-form apart but the part at-the-same-time
εἶδος ἐχέτω. κάλλιστον μὲν γὰρ ἀπὸ τῶν ἄλλων εὐθὺς
form let-it-have finest indeed for from the others at-once
διαχωρίζειν τὸ ζητούμενον, ἂν ὀρθῶς ἔχῃ, καθάπερ ὀλίγον
to-separate the thing-sought if rightly it-holds as a-little
σὺ πρότερον οἰηθεὶς ἔχειν τὴν διαίρεσιν ἐπέσπευσας
you before having-thought to-have the division you-hurried
τὸν λόγον, ἰδὼν ἐπ' ἀνθρώπους πορευόμενον· ἀλλὰ
the argument having-seen toward men proceeding but
γάρ, ὦ φίλε, λεπτουργεῖν οὐκ ἀσφαλές, διὰ μέσων
for O dear to-work-small not safe through middle-things
δὲ ἀσφαλέστερον ἰέναι τέμνοντας, καὶ μᾶλλον ἰδέαις ἄν
and safer to-go cutting and rather on-forms —
τις προστυγχάνοι. τοῦτο δὲ διαφέρει τὸ πᾶν πρὸς
one would-light this and makes-a-difference — wholly toward
τὰς ζητήσεις.
the inquiries
Y. SOC. πῶς, ὦ ξένε, λέγεις τοῦτο;
how O stranger do-you-mean this
STR. πειρατέον ἔτι σαφέστερον φράζειν εὐνοίᾳ τῆς σῆς
one-must-try still more-clearly to-tell in-goodwill to-the your
φύσεως, ὦ Σώκρατες. ἐν τῷ μὲν οὖν παρεστηκότι τὰ νῦν
nature O Socrates in the indeed then present the now
δηλῶσαι μηδὲν ἐνδεῶς ἀδύνατον· ἐπιχειρητέον δέ τι
to-show in-nothing defectively impossible one-must-attempt and something
καὶ σμικρῷ πλέον αὐτὸ προαγαγεῖν εἰς τὸ πρόσθεν
even a-little further it to-lead-on toward the front
σαφηνείας ἕνεκα.
of-clarity for-the-sake-of

Y. SOC. ποῖον οὖν δὴ φράζεις διαιρουμένους ἡμᾶς οὐκ
what-sort then indeed do-you-say dividing us not
ὀρθῶς ἄρτι δρᾶν;
rightly just-now to-do
STR. τοιόνδε, οἷον εἴ τις τἀνθρώπινον ἐπιχειρήσας δίχα 263
such as if one the-human attempting in-two
διελέσθαι γένος διαιροῖ καθάπερ οἱ πολλοὶ τῶν
to-divide kind should-divide as the many of-the(-people)
ἐνθάδε διανέμουσι, τὸ μὲν Ἑλληνικὸν ὡς ἓν ἀπὸ πάντων
here distribute the indeed Greek as one from all
ἀφαιροῦντες χωρίς, σύμπασι δὲ τοῖς ἄλλοις γένεσιν,
taking-away apart to-all and the other kinds
ἀπείροις οὖσι καὶ ἀμείκτοις καὶ ἀσυμφώνοις πρὸς ἄλληλα,
unlimited being and unmixed and discordant toward one-another
βάρβαρον μιᾷ κλήσει προσειπόντες αὐτὸ διὰ ταύτην τὴν
barbarian by-one name having-addressed it because-of this the
μίαν κλῆσιν καὶ γένος ἓν αὐτὸ εἶναι προσδοκῶσιν· ἢ τὸν
one name also kind one it to-be they-expect or the
ἀριθμόν τις αὖ νομίζοι κατ᾽ εἴδη δύο διαιρεῖν μυριάδα
number one again should-think according-to forms two to-divide ten-thousand
ἀποτεμνόμενος ἀπὸ πάντων, ὡς ἓν εἶδος ἀποχωρίζων,
cutting-off from all as one form separating
καὶ τῷ λοιπῷ δὴ παντὶ θέμενος ἓν ὄνομα διὰ τὴν
and to-the rest indeed all having-set one name because-of the
κλῆσιν αὖ καὶ τοῦτ᾽ ἀξιοῖ γένος ἐκείνου χωρὶς ἕτερον
name again also this be-thinks-fit kind of-that apart another
ἓν γίγνεσθαι. κάλλιον δέ που καὶ μᾶλλον κατ᾽ εἴδη καὶ
one to-become more-finely and surely and more according-to forms and
δίχα διαιροῖτ᾽ ἄν, εἰ τὸν μὲν ἀριθμὸν ἀρτίῳ καὶ περιττῷ
in-two would-divide — if the indeed number by-even and odd
τις τέμνοι, τὸ δὲ αὖ τῶν ἀνθρώπων γένος ἄρρενι
one should-cut the and again of-the men kind by-male

καὶ θήλει, Λυδοὺς δὲ ἢ Φρύγας ἤ τινας ἑτέρους πρὸς
and female Lydians and or Phrygians or some others against
ἅπαντας τάττων ἀποσχίζοι τότε, ἡνίκα ἀποροῖ γένος
all ranging should-split-off then when he-should-be-at-a-loss kind
ἅμα καὶ μέρος εὑρίσκειν ἑκάτερον τῶν σχισθέντων.
at-the-same-time and part to-find each of-the things-split
Y. SOC. ὀρθότατα· ἀλλὰ γὰρ τοῦτο αὐτό, ὦ ξένε, πῶς ἄν
most-rightly but for this itself O stranger how —
τις γένος καὶ μέρος ἐναργέστερον γνοίη, ὡς οὐ ταὐτόν
one kind and part more-plainly could-know that not the-same
ἐστον ἀλλ᾽ ἕτερον ἀλλήλοιν;
the-two-are but other than-one-another
b STR. ὦ βέλτιστε ἀνδρῶν, οὐ φαῦλον προστάττεις,
O best of-men not trivial(-thing) you-command
Σώκρατες. ἡμεῖς μὲν καὶ νῦν μακροτέραν τοῦ δέοντος
Socrates we indeed even now longer than-the needful
ἀπὸ τοῦ προτεθέντος λόγου πεπλανήμεθα, σὺ δὲ ἔτι
from the proposed argument have-wandered you and still
πλέον ἡμᾶς κελεύεις πλανηθῆναι. νῦν μὲν οὖν, ὥσπερ
more us you-bid to-wander now indeed then as
εἰκός, ἐπανίωμεν πάλιν· ταῦτα δὲ εἰς αὖθις κατὰ
(is)-likely let-us-go-back again these-things and to another-time at
σχολὴν καθάπερ ἰχνεύοντες μέτιμεν. οὐ μὴν ἀλλὰ τοῦτό
leisure as tracking we-shall-pursue not indeed but this
γε αὖ παντάπασιν φύλαξαι, μή ποτε παρ᾽ ἐμοῦ δόξῃς
at-least again altogether guard-against lest ever from me you-think
αὐτὸ ἐναργῶς διωρισμένον ἀκηκοέναι.
it plainly distinguished to-have-heard
Y. SOC. τὸ ποῖον;
the what-sort
STR. εἶδός τε καὶ μέρος ἕτερον ἀλλήλων εἶναι.
form both and part other than-one-another to-be

Y. SOC. τί μήν;
what indeed

STR. ὡς εἶδος μὲν ὅταν ᾖ του, καὶ μέρος αὐτὸ
that (a)-form indeed whenever it-is of-something also part it
ἀναγκαῖον εἶναι τοῦ πράγματος ὅτουπερ ἂν εἶδος λέγηται·
necessary to-be of-the thing of-which-ever — form it-is-said
μέρος δὲ εἶδος οὐδεμία ἀνάγκη. ταύτῃ με ἢ ᾽κείνῃ
part but form no necessity in-this-way me or in-that
μᾶλλον, ὦ Σώκρατες, ἀεὶ φάθι λέγειν.
rather O Socrates always say to-speak

Y. SOC. ταῦτ᾽ ἔσται.
these-things will-be

STR. φράσον δή μοι τὸ μετὰ τοῦτο. c
tell indeed me the(-thing) after this

Y. SOC. ποῖον;
what-sort

STR. τὸ τῆς ἀποπλανήσεως ὁπόθεν ἡμᾶς δεῦρ᾽ ἤγαγεν. οἶμαι
the of-the wandering whence us hither it-led I-think
μὲν γὰρ μάλιστα, ὅθεν ἐρωτηθεὶς σὺ τὴν ἀγελαιοτροφίαν
indeed for most whence asked you the herd-rearing(-art)
ὅπῃ διαιρετέον εἶπες μάλα προθύμως δύ᾽ εἶναι ζῴων
how it-must-be-divided you-said very eagerly two to-be of-animals
γένη, τὸ μὲν ἀνθρώπινον, ἕτερον δὲ τῶν ἄλλων
kinds the indeed human another and of-the other
συμπάντων θηρίων ἕν.
all beasts one

Y. SOC. ἀληθῆ.
true-things

d STR. καὶ ἔμοιγε δὴ τότ᾽ ἐφάνης μέρος ἀφαιρῶν
and to-me-at-least indeed then you-appeared (a)-part taking-off
ἡγεῖσθαι καταλιπεῖν τὸ λοιπὸν αὖ πάντων γένος ἕν, ὅτι
to-think to-leave the remaining again of-all kind one because
πᾶσι ταὐτὸν ἐπονομάζειν ἔσχες ὄνομα, θηρία καλέσας.
for-all the-same to-give-as-a-name you-had name beasts having-called(-them)
Y. SOC. ἦν καὶ ταῦτα οὕτως.
it-was also these-things so
e STR. τὸ δέ γε, ὦ πάντων ἀνδρειότατε, τάχ᾽ ἄν, εἴ
this and at-least O of-all most-brave perhaps — if
που φρόνιμόν ἐστί τι ζῷον ἕτερον, οἷον δοκεῖ τὸ
somewhere prudent is some animal other as seems the
τῶν γεράνων, ἤ τι τοιοῦτον ἄλλο, ὃ κατὰ ταὐτὰ
of-the cranes or some such other which according-to the-same
ἴσως διονομάζει καθάπερ καὶ σύ, γεράνους μὲν ἓν γένος
perhaps distributes-names as also you cranes indeed one kind
ἀντιτιθὲν τοῖς ἄλλοις ζῴοις καὶ σεμνῦνον αὐτὸ ἑαυτό, τὰ
setting-against to-the other animals and glorifying it itself the
δὲ ἄλλα μετὰ τῶν ἀνθρώπων συλλαβὸν εἰς ταὐτὸ οὐδὲν
and others with — men gathering into the-same nothing
ἄλλο πλὴν ἴσως θηρία προσείποι. πειραθῶμεν οὖν ἡμεῖς
other except perhaps beasts it-would-address let-us-try then we
ἐξευλαβεῖσθαι πάνθ᾽ ὁπόσα τοιαῦτα.
to-beware-of all as-many-as such
Y. SOC. πῶς;
how
STR. μὴ πᾶν τὸ τῶν ζῴων γένος διαιρούμενοι, ἵνα ἧττον
not all the of-the animals kind dividing so-that less
αὐτὰ πάσχωμεν.
them we-may-suffer
Y. SOC. οὐδὲν γὰρ δεῖ.
nothing for (is)-needed

STR. καὶ γὰρ οὖν καὶ τότε ἡμαρτάνετο ταύτῃ.
and for indeed also then it-was-being-erred in-this-way
Y. SOC. τί δή;
why indeed
STR. τῆς γνωστικῆς ὅσον ἐπιτακτικὸν ἡμῖν μέρος ἦν
of-the cognitive(-knowledge) as-much-as commanding for-us part was
που τοῦ ζωοτροφικοῦ γένους, ἀγελαίων μὴν ζῴων. ἦ
surely of-the animal-rearing kind of-herd indeed animals is-it-not
γάρ;
for
Y. SOC. ναί.
yes

IV · THE FEATHERLESS BIPED

Among tame herd animals, common rearing is divided into rearing in water and on land, as in the Nile's fishponds and Thessaly's geese, and land-rearing into winged and walking. Of two roads the longer is taken first: horned and hornless, interbreeding and not, and then two-footed and four-footed, by a geometers' joke on the diagonal. Mankind ends up running beside the noblest and most easygoing of animals, and the king beside his herd. The shorter road splits the walkers into two-footed and four-footed, the two-footed into feathered and bare, and hands the statesman the city's reins.

STR. διῄρητο τοίνυν ἤδη καὶ τότε σύμπαν τὸ ζῷον 264
had-been-divided then already also at-that-time all the animal
τῷ τιθασῷ καὶ ἀγρίῳ. τὰ μὲν γὰρ ἔχοντα τιθασεύεσθαι
by-the tame and wild the indeed for having to-be-tamed
φύσιν ἥμερα προσείρηται, τὰ δὲ μὴ ’θέλοντα ἄγρια.
nature tame have-been-called the and not willing wild
Y. SOC. καλῶς.
well

STR. ἦν δέ γε θηρεύομεν ἐπιστήμην, ἐν τοῖς ἡμέροις
which and at-least we-are-hunting knowledge among the tame(-ones)
ἦν τε καὶ ἔστιν, ἐπὶ τοῖς ἀγελαίοις μὴν ζητητέα
was both and is over the herding indeed must-be-sought
θρέμμασιν.
creatures

Y. SOC. ναί.
yes

b STR. μὴ τοίνυν διαιρώμεθα ὥσπερ τότε πρὸς ἅπαντα
not then let-us-divide as at-that-time toward all
ἀποβλέψαντες, μηδὲ σπεύσαντες, ἵνα δὴ ταχὺ γενώμεθα
looking nor hurrying so-that indeed quickly we-may-get
πρὸς τῇ πολιτικῇ. πεποίηκε γὰρ ἡμᾶς καὶ νῦν παθεῖν
to the political(-knowledge) it-has-made for us also now to-suffer
τὸ κατὰ τὴν παροιμίαν πάθος.
the according-to the proverb experience

Y. SOC. ποῖον;
what-sort

STR. οὐχ ἡσύχους εὖ διαιροῦντας ἠνυκέναι βραδύτερον.
not quietly well dividing to-have-accomplished more-slowly

Y. SOC. καὶ καλῶς γε, ὦ ξένε, πεποίηκε.
and well at-least O stranger it-has-made(-it)

STR. ταῦτ' ἔστω. πάλιν δ' οὖν ἐξ ἀρχῆς τὴν
these-things let-it-be again and then from (the)-beginning the
κοινοτροφικὴν πειρώμεθα διαιρεῖν· ἴσως γὰρ καὶ τοῦτο
common-rearing(-art) let-us-try to-divide perhaps for also this
ὃ σὺ προθυμῇ διαπεραινόμενος ὁ λόγος αὐτός σοι
which you are-eager-for being-carried-through the argument itself to-you
κάλλιον μηνύσει. καί μοι φράζε.
better will-reveal and me tell

Y. SOC. ποῖον δή;
what-sort indeed

STR. τόδε, εἴ τινων πολλάκις ἄρα διακήκοας· οὐ c
this whether from-some-people often then you-have-heard not
γὰρ δὴ προστυχής γε αὐτὸς οἶδ' ὅτι γέγονας ταῖς
for indeed present at-least yourself I-know that you-have-been at-the
ἐν τῷ Νείλῳ τιθασείαις τῶν ἰχθύων καὶ τῶν ἐν ταῖς
in the Nile tamings of-the fish and of-the(-ones) in the
βασιλικαῖς λίμναις. ἐν μὲν γὰρ κρήναις τάχ' ἂν ἴσως
royal lakes in indeed for fountains perhaps — perhaps
εἴης ἠσθημένος.
you-would-be having-perceived(-them)

Y. SOC. πάνυ μὲν οὖν καὶ ταῦτα τεθέαμαι κἀκεῖνα πολλῶν
certainly indeed then both these-things I-have-seen and-those from-many
ἀκήκοα.
I-have-heard

STR. καὶ μὴν χηνοβωτίας γε καὶ γερανοβωτίας, εἰ καὶ
and indeed goose-feeding at-least and crane-feeding if even
μὴ πεπλάνησαι περὶ τὰ Θετταλικὰ πεδία, πέπυσαι
not you-have-wandered about the Thessalian plains you-have-learned
γοῦν καὶ πιστεύεις εἶναι.
at-any-rate and you-believe (them)-to-be

Y. SOC. τί μήν;
what indeed

STR. τοῦδ' ἕνεκά τοι πάντα ἠρώτησα ταῦτα, διότι τῆς d
of-this for-the-sake-of surely all I-asked these-things because of-the
τῶν ἀγελαίων τροφῆς ἔστι μὲν ἔνυδρον, ἔστι δὲ καὶ
of-the herd(-animals) nurture there-is indeed water-living there-is and also
ξηροβατικόν.
dry-walking

Y. SOC. ἔστι γὰρ οὖν.
there-is for indeed

STR. ἆρ᾽ οὖν καὶ σοὶ συνδοκεῖ ταύτῃ δεῖν διχάζειν
so then also to-you it-seems-good in-this-way to-be-necessary to-halve
τὴν κοινοτροφικὴν ἐπιστήμην, ἐφ᾽ ἑκατέρῳ τούτων τὸ
the common-rearing knowledge over each of-these the
μέρος αὐτῆς ἐπινέμοντας ἑκάτερον, τὸ μὲν ἕτερον
part of-it assigning each the indeed one
ὑγροτροφικὸν ὀνομάζοντας, τὸ δ᾽ ἕτερον ξηροτροφικόν;
wet-rearing naming the and other dry-rearing
Y. SOC. ἔμοιγε.
to-me-at-least
e STR. καὶ μὴν καὶ τὸ βασιλικὸν οὕτως οὐ ζητήσομεν
and indeed also the kingly(-art) so not we-shall-seek
ὁποτέρας ἐστὶ τῆς τέχνης· δῆλον γὰρ παντί.
of-which-of-the-two it-is — art clear for to-everyone
Y. SOC. πῶς δ᾽ οὔ;
how and not
STR. πᾶς μὲν δὴ τό γε ξηροτροφικὸν τῆς
everyone indeed indeed the at-least dry-rearing of-the
ἀγελαιοτροφίας διέλοιτ᾽ ἂν φῦλον.
herd-rearing(-art) would-divide — tribe
Y. SOC. πῶς;
how
STR. τῷ πτηνῷ τε καὶ πεζῷ διορισάμενος.
by-the winged both and walking having-distinguished(-it)
Y. SOC. ἀληθέστατα.
most-truly
STR. τί δέ; τὸ πολιτικὸν ἢ περὶ τὸ πεζὸν ζητητέον;
what and the political(-art) truly about the walking(-tribe) must-be-sought
ἢ οὐκ οἴει καὶ τὸν ἀφρονέστατον ὡς ἔπος εἰπεῖν
or not do-you-think even the most-senseless so a-word to-say
δοξάζειν οὕτως;
to-opine so

Y. SOC. ἔγωγε.
I-at-least

STR. τὴν δὲ πεζονομικήν, καθάπερ ἄρτι τὸν ἀριθμόν,
the and walking-herding(-art) as just-now the number
δεῖ τεμνομένην δίχα ἀποφαίνειν.
one-must being-cut in-two to-show

Y. SOC. δῆλον.
clear

STR. καὶ μὴν ἐφ᾽ ὅ γε μέρος ὥρμηκεν ἡμῖν ὁ 265
and indeed toward which at-least part has-set-out for-us the
λόγος, ἐπ᾽ ἐκεῖνο δύο τινὲ καθορᾶν ὁδὼ τεταμένα
argument toward that two certain to-see-clearly roads stretched
φαίνεται, τὴν μὲν θάττω, πρὸς μέγα μέρος σμικρὸν
appears the(-one) indeed quicker against a-great part a-small
διαιρουμένην, τὴν δέ, ὅπερ ἐν τῷ πρόσθεν ἐλέγομεν
dividing the(-other) and what-very in the before we-were-saying
ὅτι δεῖ μεσοτομεῖν ὡς μάλιστα, τοῦτ᾽ ἔχουσαν
that one-must to-cut-through-the-middle as most this having
μᾶλλον, μακροτέραν γε μήν. ἔξεστιν οὖν ὁποτέραν ἂν
rather longer at-least indeed it-is-possible then whichever —
βουληθῶμεν, ταύτην πορευθῆναι.
we-may-wish this to-travel

Y. SOC. τί δέ; ἀμφοτέρας ἀδύνατον;
what and both impossible

STR. ἅμα γ᾽, ὦ θαυμαστέ· ἐν μέρει γε μὴν
at-the-same-time at-least O wonderful(-man) in turn at-least indeed
δῆλον ὅτι δυνατόν.
clear that possible

Y. SOC. ἐν μέρει τοίνυν ἔγωγε ἀμφοτέρας αἱροῦμαι. b
in turn then I-at-least both I-choose

STR. ῥᾴδιον, ἐπειδὴ τὸ λοιπὸν βραχύ· κατ᾽ ἀρχὰς μὴν καὶ
easy since the remainder short at beginnings indeed and
μεσοῦσιν ἅμα τῆς πορείας χαλεπὸν ἂν ἦν
for-those-midway at-the-same-time of-the journey hard — would-have-been
ἡμῖν τὸ πρόσταγμα. νῦν δ᾽, ἐπειδὴ δοκεῖ ταύτῃ,
for-us the command now but since it-seems-good in-this-way
τὴν μακροτέραν πρότερον ἴωμεν· νεαλέστεροι γὰρ ὄντες
the longer first let-us-go fresher for being
ῥᾷον αὐτὴν πορευσόμεθα. τὴν δὲ δὴ διαίρεσιν ὅρα.
more-easily it we-shall-travel the and indeed division see

Y. SOC. λέγε.
speak

STR. τὰ πεζὰ ἡμῖν τῶν ἡμέρων, ὅσαπερ ἀγελαῖα,
the walking(-animals) for-us of-the tame as-many-as herding
διῃρημένα ἐστὶ φύσει δίχα.
divided are by-nature in-two

Y. SOC. τίνι;
by-what

STR. τῷ τῶν μὲν τὴν γένεσιν ἄκερων εἶναι, τῶν
by-the of-the(-ones) indeed the birth hornless to-be of-the(-others)
δὲ κερασφόρον.
and horn-bearing

c Y. SOC. φαίνεται.
it-appears

STR. τὴν δὴ πεζονομικὴν διελὼν ἀπόδος ἑκατέρῳ τῷ
the indeed walking-herding(-art) having-divided assign to-each the
μέρει λόγῳ χρώμενος. ἂν γὰρ ὀνομάζειν αὐτὰ βουληθῇς,
part an-account using if for to-name them you-wish
ἔσται σοι περιπεπλεγμένον μᾶλλον τοῦ δέοντος.
it-will-be for-you entangled more than-the needful

Y. SOC. πῶς οὖν χρὴ λέγειν;
how then must-one to-speak

STR. ὧδε· τῆς πεζονομικῆς ἐπιστήμης δίχα διαιρεθείσης τὸ
thus of-the walking-herding knowledge in-two divided the
μόριον θάτερον ἐπὶ τῷ κερασφόρῳ μέρει τῷ τῆς ἀγέλης
part the-one over the horn-bearing part the of-the herd
ἐπιτετάχθαι, τὸ δὲ ἕτερον ἐπὶ τῷ τῆς ἀκεράτου.
to-have-been-set the and other over the(-part) of-the hornless
Y. SOC. ταῦτ' ἔστω ταύτῃ λεχθέντα· πάντως γὰρ d
these-things let-them-be in-this-way said wholly for
ἱκανῶς δεδήλωται.
sufficiently it-has-been-shown
STR. καὶ μὴν ὅ γε βασιλεὺς ἡμῖν αὖ καταφανὴς ὅτι
and indeed the at-least king to-us again (is)-plain that
κολοβὸν ἀγέλην τινὰ κεράτων νομεύει.
a-docked herd some of-horns he-tends
Y. SOC. πῶς γὰρ οὐ δῆλος;
how for not clear
STR. ταύτην τοίνυν καταθραύσαντες τὸ γιγνόμενον αὐτῷ
this then having-broken-up the thing-coming-to-be to-him
πειρώμεθα ἀποδοῦναι.
let-us-try to-assign
Y. SOC. πάνυ γε.
certainly at-least
STR. πότερον οὖν βούλει τῷ σχιστῷ τε καὶ τῷ
whether then do-you-wish by-the cloven both and by-the
καλουμένῳ μώνυχι διαιρεῖν αὐτὴν ἢ τῇ κοινογονίᾳ τε
called solid-hoofed to-divide it or by-the common-breeding both
καὶ ἰδιογονίᾳ; μανθάνεις γάρ που.
and private-breeding you-understand for surely
Y. SOC. τὸ ποῖον;
the what-sort

e STR. ὅτι τὸ μὲν τῶν ἵππων καὶ ὄνων πέφυκεν ἐξ
that the(-kind) indeed of-the horses and asses is-of-a-nature from
ἀλλήλων γεννᾶν.
one-another to-breed
Y. SOC. ναί.
yes
STR. τὸ δέ γε λοιπὸν ἔτι τῆς λείας ἀγέλης τῶν ἡμέρων
the and at-least remainder still of-the smooth herd of-the tame(-ones)
ἀμιγὲς γένει πρὸς ἄλληλα.
unmixed in-kind with one-another
Y. SOC. πῶς δ' οὔ;
how and not
STR. τί δ'; ὁ πολιτικὸς ἆρ' ἐπιμέλειαν ἔχειν φαίνεται
what and the statesman so care to-have appears
πότερα κοινογενοῦς φύσεως ἤ τινος ἰδιογενοῦς;
whether of-a-common-breeding nature or of-some private-breeding(-one)
Y. SOC. δῆλον ὅτι τῆς ἀμείκτου.
clear that of-the unmixed(-one)
STR. ταύτην δὴ δεῖ καθάπερ τὰ ἔμπροσθεν, ὡς
this indeed must as the(-things) before as
ἔοικεν, ἡμᾶς δίχα διαστέλλειν.
it-seems us in-two to-separate
Y. SOC. δεῖ γὰρ οὖν.
must for indeed
266 STR. καὶ μὴν τό γε ζῷον, ὅσον ἥμερον καὶ ἀγελαῖον,
and indeed the at-least animal as-much-as (is)-tame and herding
σχεδὸν πλὴν γενοῖν δυοῖν πᾶν ἤδη κατακεκερμάτισται.
nearly except kinds two all already has-been-cut-to-pieces
τὸ γὰρ τῶν κυνῶν οὐκ ἐπάξιον καταριθμεῖν γένος ὡς
the for of-the dogs not worth to-count-in kind as
ἐν ἀγελαίοις θρέμμασιν.
among herding creatures

Y. SOC. οὐ γὰρ οὖν. ἀλλὰ τίνι δὴ τὼ δύο διαιροῦμεν;
not for indeed but by-what indeed the two are-we-dividing

STR. ᾧπερ καὶ δίκαιόν γε Θεαίτητόν τε καὶ σὲ
by-which-very-thing also just at-least Theaetetus both and you
διανέμειν, ἐπειδὴ καὶ γεωμετρίας ἅπτεσθον.
to-distribute since also geometry the-two-touch

Y. SOC. τῷ;
by-what

STR. τῇ διαμέτρῳ δήπου καὶ πάλιν τῇ τῆς διαμέτρου
by-the diagonal surely and again by-the of-the diagonal
διαμέτρῳ.
diagonal

Y. SOC. πῶς εἶπες;
how did-you-say

STR. ἡ φύσις, ἣν τὸ γένος ἡμῶν τῶν ἀνθρώπων κέκτηται, b
the nature which the kind our of-the men has-acquired
μῶν ἄλλως πως εἰς τὴν πορείαν πέφυκεν ἢ καθάπερ
surely-not otherwise somehow for the going is-it-grown than as
ἡ διάμετρος ἡ δυνάμει δίπους;
the diagonal the in-power two-foot

Y. SOC. οὐκ ἄλλως.
not otherwise

STR. καὶ μὴν ἥ γε τοῦ λοιποῦ γένους πάλιν ἐστὶ
and indeed the at-least of-the remaining kind again is
κατὰ δύναμιν αὖ τῆς ἡμετέρας δυνάμεως διάμετρος,
according-to power again of-the our power diagonal
εἴπερ δυοῖν γέ ἐστι ποδοῖν δὶς πεφυκυῖα.
if-indeed of-two at-least it-is feet twice grown

Y. SOC. πῶς δ᾽ οὐκ ἔστι; καὶ δὴ καὶ σχεδὸν ὃ βούλει
how and not it-is and indeed also nearly what you-wish
δηλοῦν μανθάνω.
to-show I-understand

c STR. πρὸς δὴ τούτοις ἕτερον αὖ τι τῶν
besides indeed these another again something of-the(-things)
πρὸς γέλωτα εὐδοκιμησάντων ἄν, ὦ Σώκρατες, ἆρα
for laughter that-would-have-won-repute — O Socrates then
καθορῶμεν ἡμῖν γεγονὸς ἐν τοῖς διῃρημένοις;
do-we-see-clearly for-us having-happened in the(-things) divided
Y. SOC. τὸ ποῖον;
the what-sort
STR. τἀνθρώπινον ἡμῶν ἅμα γένος συνειληχὸς
the-human our at-the-same-time kind having-been-allotted-together
καὶ συνδεδραμηκὸς γένει τῷ τῶν ὄντων γενναιοτάτῳ
and having-run-together with-a-kind the of-the beings noblest
καὶ ἅμα εὐχερεστάτῳ.
and at-the-same-time most-easygoing
Y. SOC. καθορῶ καὶ μάλ' ἀτόπως συμβαῖνον.
I-see-clearly and very strangely happening
STR. τί δ'; οὐκ εἰκὸς ὕστατα ἀφικνεῖσθαι τὰ βραδύτατα;
what and not (is-it)-likely last to-arrive the slowest
Y. SOC. ναί, τοῦτό γε.
yes this at-least
d STR. τόδε δὲ οὐκ ἐννοοῦμεν, ὡς ἔτι γελοιότερος ὁ βασιλεὺς
this and not do-we-notice that still more-ridiculous the king
φαίνεται μετὰ τῆς ἀγέλης συνδιαθέων καὶ σύνδρομα
appears with the herd running-along and in-company
πεπορευμένος τῷ τῶν ἀνδρῶν αὖ πρὸς τὸν εὐχερῆ
having-traveled with-the of-the men again for the easygoing
βίον ἄριστα γεγυμνασμένῳ;
life best trained
Y. SOC. παντάπασι μὲν οὖν.
altogether indeed then

STR. νῦν γάρ, ὦ Σώκρατες, ἐκεῖνό ἐστι καταφανὲς μᾶλλον
now for O Socrates that is plain more
τὸ ῥηθὲν τότ᾽ ἐν τῇ περὶ τὸν σοφιστὴν ζητήσει.
the thing-said then in the about the sophist search
Y. SOC. τὸ ποῖον;
the what-sort
STR. ὅτι τῇ τοιᾷδε μεθόδῳ τῶν λόγων οὔτε σεμνοτέρου
that to-the such method of-the arguments neither of-a-more-solemn
μᾶλλον ἐμέλησεν ἢ μή, τόν τε σμικρότερον οὐδὲν
more did-it-care than not the both smaller in-nothing
ἠτίμακε πρὸ τοῦ μείζονος, ἀεὶ δὲ καθ᾽ αὑτὴν περαίνει
it-has-slighted before the greater always and by itself it-accomplishes
τἀληθέστατον.
the-truest
Y. SOC. ἔοικεν.
it-seems
STR. οὐκοῦν μετὰ τοῦτο, ἵνα μή με φθῇς ἐρωτήσας τὴν e
therefore after this so-that not me you-forestall asking the
βραχυτέραν ὁδὸν ἥτις τότε ἦν ἐπὶ τὸν τοῦ βασιλέως
shorter road which then was toward the of-the king
ὅρον, αὐτός σοι πρότερον ἔλθω;
definition I-myself to-you first shall-I-go
Y. SOC. σφόδρα γε.
strongly at-least
STR. λέγω δὴ δεῖν τότε εὐθὺς τὸ πεζὸν τῷ
I-say indeed to-be-necessary then at-once the walking by-the
δίποδι πρὸς τὸ τετράπουν γένος διανεῖμαι, κατιδόντα δὲ
two-footed against the four-footed kind to-distribute having-observed and
τἀνθρώπινον ἔτι μόνῳ τῷ πτηνῷ συνειληχὸς τὴν δίποδα
the-human still with-only the winged allotted-together the two-footed
ἀγέλην πάλιν τῷ ψιλῷ καὶ τῷ πτεροφυεῖ τέμνειν, τμηθείσης
herd again by-the bare and the feather-growing to-cut cut

δὲ αὐτῆς καὶ τότ᾽ ἤδη τῆς ἀνθρωπονομικῆς δηλωθείσης
and it and then already of-the man-herding shown
τέχνης, φέροντα τὸν πολιτικὸν καὶ βασιλικὸν οἷον ἡνίοχον
art carrying the statesman and kingly(-man) as a-charioteer
εἰς αὐτὴν ἐνστήσαντα, παραδοῦναι τὰς τῆς πόλεως ἡνίας
into it having-set-in to-hand-over the of-the city reins
ὡς οἰκείας καὶ αὐτῷ ταύτης οὔσης τῆς ἐπιστήμης.
as proper also to-him this being the knowledge

V · THE RIVALS

The stranger sums up the definition, and Young Socrates agrees: the statesman's art is the rearing of the hornless, unmixed, two-footed herd. But the stranger finds it incomplete, since merchants, farmers, millers, trainers, and doctors all claim to rear men, while no one disputes the cowherd's care of his cattle. To separate the statesman from his rivals they take another road, through a great myth, beginning with the portent in the quarrel of Atreus and Thyestes.

267 Y. SOC. καλῶς καὶ καθαπερεὶ χρέος ἀπέδωκάς μοι τὸν λόγον,
well and just-as a-debt you-have-paid me the account
προσθεὶς τὴν ἐκτροπὴν οἷον τόκον καὶ ἀναπληρώσας
having-added the digression as interest and having-filled-up
αὐτόν.
it

STR. φέρε δὴ καὶ συνείρωμεν ἐπανελθόντες ἐπὶ τὴν
come indeed and let-us-string-together having-gone-back to the
ἀρχὴν μέχρι τῆς τελευτῆς τὸν λόγον τοῦ ὀνόματος τῆς
beginning up-to the end the account of-the name of-the
τοῦ πολιτικοῦ τέχνης.
of-the statesman art

Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then

STR. τῆς γνωστικῆς τοίνυν ἐπιστήμης ἡμῖν ἦν κατ' b
of-the cognitive then knowledge for-us there-was at
ἀρχὰς μέρος ἐπιτακτικόν· τούτου δὲ ἀπεικασθὲν τὸ
beginnings a-part commanding of-this and likened the
μόριον αὐτεπιτακτικὸν ἐρρήθη. ζῳοτροφικὴ δὲ πάλιν
part self-commanding was-called animal-rearing and again
αὐτεπιτακτικῆς οὐ τὸ σμικρότατον τῶν γενῶν ἀπεσχίζετο·
of-self-commanding not the smallest of-the kinds was-split-off
καὶ ζῳοτροφικῆς εἶδος ἀγελαιοτροφικόν, ἀγελαιοτροφικοῦ δ'
and of-animal-rearing a-form herd-rearing of-herd-rearing and
αὖ πεζονομικόν· τοῦ δὲ πεζονομικοῦ μάλιστα ἀπετέμνετο
again walking-herding of-the and walking-herding most-of-all was-cut-off
τέχνη τῆς ἀκεράτου φύσεως θρεπτική. ταύτης δ' αὖ
an-art of-the hornless nature rearing of-this and again
τὸ μέρος οὐκ ἔλαττον τριπλοῦν συμπλέκειν ἀναγκαῖον, ἂν
the part not less threefold to-weave-together necessary if
τὸ πλεῖστον νομίζοιτ᾽ ἂν ὀρθότερον ἢ πολιτικῆς.
the most-part would-be-thought — more-rightly than of-politics
Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then
STR. πέμπτον δὲ ἆρ᾽ ἂν ἐθέλοιμεν τὸ περὶ τὸν κόσμον c
fifth and so — would-we-wish the(-kind) about the adornment
καὶ γραφικὴν θεῖναι καὶ ὅσα ταύτῃ προσχρώμενα καὶ
and painting to-set and as-many-as this(-art) using and
μουσικῇ μιμήματα τελεῖται, πρὸς τὰς ἡδονὰς μόνον ἡμῶν
with-music imitations are-accomplished for the pleasures only our
ἀπειργασμένα, δικαίως δ᾽ ἂν ὀνόματι περιληφθέντα ἑνί;
wrought justly and — by-name embraced one
Y. SOC. ποίῳ;
what-sort
STR. παίγνιόν πού τι λέγεται.
plaything surely something it-is-called
Y. SOC. τί μήν;
what indeed
STR. τοῦτο τοίνυν τούτοις ἓν ὄνομα ἅπασι πρέψει
this then for-these one name for-all will-befit
προσαγορευθέν· οὐ γὰρ σπουδῆς οὐδὲν αὐτῶν χάριν,
being-addressed not for of-seriousness none of-them for-the-sake-of
ἀλλὰ παιδιᾶς ἕνεκα πάντα δρᾶται.
but of-play for-the-sake-of all are-done
Y. SOC. καὶ τοῦτο σχεδόν τι μανθάνω. d
also this nearly somewhat I-understand

STR. τὸ δὲ πᾶσιν τούτοις σώματα παρέχον, ἐξ ὧν καὶ
the(-kind) and to-all these bodies furnishing from which and
ἐν οἷς δημιουργοῦσιν ὁπόσαι τῶν τεχνῶν νῦν εἴρηνται,
in which they-craft as-many-as of-the arts now have-been-named
παντοδαπὸν εἶδος πολλῶν ἑτέρων τεχνῶν ἔκγονον ὄν,
manifold form of-many other arts offspring being
ἆρ' οὐχ ἕκτον θήσομεν;
so not sixth shall-we-set
Y. SOC. τὸ ποῖον δὴ λέγεις;
the what-sort indeed do-you-mean
e STR. χρυσόν τε καὶ ἄργυρον καὶ πάνθ' ὁπόσα μεταλλεύεται
gold both and silver and all as-many-as is-mined
καὶ ὅσα δρυοτομικὴ καὶ κουρὰ σύμπασα τέμνουσα παρέχει
and as-many-as timber-cutting and lopping all cutting furnishes
τεκτονικῇ καὶ πλεκτικῇ· καὶ ἔτι φλοιστικὴ φυτῶν τε
to-carpentry and to-wicker-work and further bark-stripping of-plants both
καὶ ἐμψύχων δέρματα σωμάτων περιαιροῦσα σκυτοτομική,
and of-ensouled skins of-bodies taking-off shoemaking
καὶ ὅσαι περὶ τὰ τοιαῦτά εἰσιν τέχναι, καὶ φελλῶν
and as-many-as about the such are arts and of-corks
καὶ βύβλων καὶ δεσμῶν ἐργαστικαὶ παρέσχον δημιουργεῖν
and of-papyrus and of-cords productive furnished to-craft
σύνθετα ἐκ μὴ συντιθεμένων εἴδη γενῶν. ἓν δὲ αὐτὸ
compound(-things) from not compounded forms of-kinds one and it
προσαγορεύομεν πᾶν τὸ πρωτογενὲς ἀνθρώποις κτῆμα καὶ
we-address all the first-born for-men possession and
ἀσύνθετον καὶ βασιλικῆς ἐπιστήμης οὐδαμῶς ἔργον ὄν.
uncompounded and of-kingly knowledge in-no-way work being
Y. SOC. καλῶς.
well

STR. τὴν δὴ τῆς τροφῆς κτῆσιν, καὶ ὅσα εἰς τὸ 289
the indeed of-the nourishment acquisition and as-many-as into the
σῶμα συγκαταμειγνύμενα ἑαυτῶν μέρεσι μέρη σώματος
body mingling-in with-their-own parts parts of-body
εἰς τὸ θεραπεῦσαί τινα δύναμιν εἴληχε, λεκτέον
for the to-tend some power have-been-allotted must-be-said
ἕβδομον ὀνομάσαντας αὐτὸ σύμπαν ἡμῶν εἶναι τροφόν,
seventh naming it all our to-be nurse
εἰ μή τι κάλλιον ἔχομεν ἄλλο θέσθαι· γεωργικῇ δὲ
if not anything finer we-have other to-set to-farming and
καὶ θηρευτικῇ καὶ γυμναστικῇ καὶ ἰατρικῇ καὶ μαγειρικῇ
also to-hunting and to-gymnastics and to-medicine and to-cookery
πᾶν ὑποτιθέντες ὀρθότερον ἀποδώσομεν ἢ τῇ πολιτικῇ.
all assigning more-rightly we-shall-render than to-the political(-art)
Y. SOC. πῶς γὰρ οὔ;
how for not
STR. σχεδὸν τοίνυν ὅσα ἔχεται κτήσεως, πλὴν τῶν b
nearly then as-many-as are-held of-possession except the
ἡμέρων ζῴων, ἐν τούτοις ἑπτὰ οἶμαι γένεσιν εἰρῆσθαι.
tame animals in these seven I-think kinds to-have-been-told
σκόπει δέ· ἦν γὰρ δικαιότατα μὲν ἂν τεθὲν κατ' ἀρχὰς τὸ
consider and it-was for most-justly indeed — set at beginnings the
πρωτογενὲς εἶδος, μετὰ δὲ τοῦτο ὄργανον, ἀγγεῖον, ὄχημα,
first-born form after and this tool vessel vehicle
πρόβλημα, παίγνιον, θρέμμα. ἃ παραλείπομεν δέ, εἴ τι
defense plaything nursling which we-pass-over and if anything
μὴ μέγα λέληθεν, εἴς τι τούτων δυνατὸν ἁρμόττειν, οἷον ἡ
not great has-escaped into some of-these possible to-fit as the
τοῦ νομίσματος ἰδέα καὶ σφραγίδων καὶ παντὸς χαρακτῆρος.
of-the coinage form and of-seals and of-every stamp
γένος τε γὰρ ἐν αὑτοῖς ταῦτα οὐδὲν ἔχει μέγα σύννομον,
kind both for in themselves these nothing has great in-common

ἀλλὰ τὰ μὲν εἰς κόσμον, τὰ δὲ εἰς ὄργανα βίᾳ
but the(-ones) indeed into adornment the(-others) and into tools by-force
μέν, ὅμως δὲ πάντως ἑλκόμενα συμφωνήσει. τὰ δὲ
indeed nevertheless and wholly dragged will-agree the(-things) and
περὶ ζῴων κτῆσιν τῶν ἡμέρων, πλὴν δούλων, ἡ πρότερον
about animals acquisition of-the tame except slaves the earlier
ἀγελαιοτροφικὴ διαμερισθεῖσα πάντ' εἰληφυῖα ἀναφανεῖται.
herd-rearing(-art) divided all having-taken will-appear

Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then

d STR. τὸ δὲ δὴ δούλων καὶ πάντων ὑπηρετῶν λοιπόν,
the(-kind) and indeed of-slaves and of-all servants remaining
ἐν οἷς που καὶ μαντεύομαι τοὺς περὶ αὐτὸ τὸ πλέγμα
in which surely also I-divine the(-ones) about it the web
ἀμφισβητοῦντας τῷ βασιλεῖ καταφανεῖς γενήσεσθαι,
disputing with-the king plain to-become
καθάπερ τοῖς ὑφάνταις τότε τοὺς περὶ τὸ νήθειν τε
as for-the weavers then the(-ones) about the to-spin both
καὶ ξαίνειν καὶ ὅσα ἄλλα εἴπομεν. οἱ δὲ
and to-card and as-many-as other(-things) we-said the(-others) and
ἄλλοι πάντες, ὡς συναίτιοι λεχθέντες, ἅμα τοῖς ἔργοις
others all as joint-causes having-been-said together with-the works
τοῖς νυνδὴ ῥηθεῖσιν ἀνήλωνται καὶ ἀπεχωρίσθησαν ἀπὸ
the just-now said have-been-used-up and were-separated from
βασιλικῆς τε καὶ πολιτικῆς πράξεως.
kingly both and political action

Y. SOC. ἐοίκασι γοῦν.
they-seem at-any-rate

STR. ἴθι δὴ σκεψώμεθα τοὺς λοιποὺς προσελθόντες
come indeed let-us-examine the remaining having-approached
ἐγγύθεν, ἵνα αὐτοὺς εἰδῶμεν βεβαιότερον.
from-near so-that them we-may-know more-surely

Y. SOC. οὐκοῦν χρή.
therefore must(-we)

STR. τοὺς μὲν δὴ μεγίστους ὑπηρέτας, ὡς ἐνθένδε
the indeed indeed greatest servants as from-here
ἰδεῖν, τοὐναντίον ἔχοντας εὑρίσκομεν οἷς ὑπωπτεύσαμεν
to-see the-opposite holding we-find to-what we-suspected
ἐπιτήδευμα καὶ πάθος.
pursuit and condition

Y. SOC. τίνας;
which

STR. τοὺς ὠνητούς τε καὶ τῷ τρόπῳ τούτῳ κτητούς· οὓς e
the bought both and in-the way this acquired whom
ἀναμφισβητήτως δούλους ἔχομεν εἰπεῖν; ἥκιστα βασιλικῆς
indisputably slaves we-can to-call least kingly
μεταποιουμένους τέχνης.
claiming art

Y. SOC. πῶς δ' οὔ;
how and not

Merchants, money-changers, hired men, heralds, and clerks are servants, not rulers. Seers and priests serve between men and gods, and win high regard: in Egypt a king must be a priest, and at Athens the king chosen by lot performs the oldest sacrifices. Then a motley crowd appears, men like lions, centaurs, and satyrs. They are the troupe busy with the cities' affairs, the greatest wizard of all the sophists, and must be separated from the true statesman. Monarchy splits into tyranny and kingship, and rule of the few into aristocracy and oligarchy, while the rule of the many is democracy.

290 STR. τί δέ; τῶν ἐλευθέρων ὅσοι τοῖς νυνδὴ ῥηθεῖσιν εἰς
what and of-the free(-men) as-many-as to-the just-now mentioned into
ὑπηρετικὴν ἑκόντες αὑτοὺς τάττουσι, τά τε γεωργίας καὶ
service willingly themselves range the both of-farming and
τὰ τῶν ἄλλων τεχνῶν ἔργα διακομίζοντες ἐπ' ἀλλήλους
the of-the other arts works conveying to one-another
καὶ ἀνισοῦντες, οἱ μὲν κατ' ἀγοράς, οἱ δὲ
and equalizing the(-ones) indeed in markets the(-others) and
πόλιν ἐκ πόλεως ἀλλάττοντες κατὰ θάλατταν καὶ πεζῇ,
city from city exchanging by sea and on-foot
νόμισμά τε πρὸς τὰ ἄλλα καὶ αὐτὸ πρὸς αὑτὸ
coinage both for the other-things and itself for itself
διαμείβοντες, οὓς ἀργυραμοιβούς τε καὶ ἐμπόρους καὶ
exchanging whom money-changers both and merchants and
ναυκλήρους καὶ καπήλους ἐπωνομάκαμεν, μῶν τῆς
ship-owners and retailers we-have-named surely-not of-the
πολιτικῆς ἀμφισβητήσουσί τι;
political(-art) will-they-dispute anything
Y. SOC. τάχ' ἂν ἴσως τῆς γε τῶν ἐμπορευτικῶν.
perhaps — perhaps of-the at-least of-the commercial(-arts)

STR. ἀλλ᾽ οὐ μὴν οὕς γϵ ὁρῶμϵν μισθωτοὺς καὶ
but not indeed whom at-least we-see hired-men and
θῆτας πᾶσιν ἑτοιμότατα ὑπηρϵτοῦντας, μή ποτϵ βασιλικῆς
laborers to-all most-readily serving lest ever kingly(-art)
μϵταποιουμένους ϵὕρωμϵν.
claiming we-find

Y. SOC. πῶς γάρ;
how for

STR. τί δὲ ἄρα τοὺς τὰ τοιάδϵ διακονοῦντας ἡμῖν
what and then the(-ones) the such-things ministering for-us
ἑκάστοτϵ;
each-time

Y. SOC. τὰ ποῖα ϵἶπϵς καὶ τίνας;
the what-sort did-you-say and whom

STR. ὧν τὸ κηρυκικὸν ἔθνος, ὅσοι τϵ περὶ γράμματα b
of-whom the heraldic tribe as-many-as both about letters
σοφοὶ γίγνονται πολλάκις ὑπηρϵτήσαντϵς, καὶ πόλλ᾽
skilled become often having-served and many
ἄττα ἕτϵρα περὶ τὰς ἀρχὰς διαπονϵῖσθαί τινϵς ἕτϵροι
some other(-things) about the offices to-toil-through some others
πάνδϵινοι, τί τούτους αὖ λέξομϵν;
very-clever what these again shall-we-call

Y. SOC. ὅπϵρ ϵἶπϵς νῦν, ὑπηρέτας, ἀλλ᾽ οὐκ αὐτοὺς ἐν
what-very you-said now servants but not themselves in
ταῖς πόλϵσιν ἄρχοντας.
the cities rulers

STR. ἀλλὰ οὐ μὴν οἶμαί γϵ ἐνύπνιον ἰδὼν ϵἶπον ταύτῃ c
but not indeed I-think at-least a-dream having-seen I-said in-this-way
πῃ φανήσϵσθαι τοὺς διαφϵρόντως ἀμφισβητοῦντας τῆς
somehow to-appear the(-ones) especially disputing the

πολιτικῆς. καίτοι σφόδρα γε ἄτοπον ἂν εἶναι δόξειε
political(-art) and-yet very at-least strange — to-be would-seem
τὸ ζητεῖν τούτους ἐν ὑπηρετικῇ μοίρᾳ τινί.
the to-seek these in serving lot some

Y. SOC. κομιδῇ μὲν οὖν.
absolutely indeed then

STR. ἔτι δὴ προσμείξωμεν ἐγγύτερον ἐπὶ τοὺς μήπω
still indeed let-us-close-in nearer on the not-yet
βεβασανισμένους. εἰσὶ δὲ οἵ τε περὶ μαντικὴν ἔχοντές
tested(-ones) are and the(-ones) both about prophecy having
τινος ἐπιστήμης διακόνου μόριον· ἑρμηνευταὶ γάρ που
of-some knowledge ministering a-part interpreters for surely
νομίζονται παρὰ θεῶν ἀνθρώποις.
are-thought from gods to-men

Y. SOC. ναί.
yes

d STR. καὶ μὴν καὶ τὸ τῶν ἱερέων αὖ γένος, ὡς τὸ
and indeed also the of-the priests again kind as the
νόμιμόν φησι, παρὰ μὲν ἡμῶν δωρεὰς θεοῖς διὰ θυσιῶν
lawful says from indeed us gifts to-gods through sacrifices
ἐπιστῆμόν ἐστι κατὰ νοῦν ἐκείνοις δωρεῖσθαι, παρὰ δὲ
knowing is according-to mind to-those to-give from and
ἐκείνων ἡμῖν εὐχαῖς κτῆσιν ἀγαθῶν αἰτήσασθαι· ταῦτα
those for-us by-prayers acquisition of-good-things to-ask these-things
δὲ διακόνου τέχνης ἐστί που μόρια ἀμφότερα.
and of-ministering art are surely parts both

Y. SOC. φαίνεται γοῦν.
it-appears at-any-rate

e STR. ἤδη τοίνυν μοι δοκοῦμεν οἱόν γέ τινος ἴχνους
already then to-me we-seem as at-least of-some track
ἐφ' ὃ πορευόμεθα προσάπτεσθαι. τὸ γὰρ δὴ τῶν
to which we-travel to-lay-hold-of the for indeed of-the

ἱερέων σχῆμα καὶ τὸ τῶν μάντεων εὖ μάλα φρονήματος
priests figure and the of-the seers well very with-pride
πληροῦται καὶ δόξαν σεμνὴν λαμβάνει διὰ τὸ μέγεθος
is-filled and reputation solemn receives because-of the greatness
τῶν ἐγχειρημάτων, ὥστε περὶ μὲν Αἴγυπτον οὐδ'
of-the undertakings so-that in indeed Egypt not-even
ἔξεστι βασιλέα χωρὶς ἱερατικῆς ἄρχειν, ἀλλ' ἐὰν ἄρα καὶ
it-is-possible for-a-king without priestly(-art) to-rule but if then also
τύχῃ πρότερον ἐξ ἄλλου γένους βιασάμενος, ὕστερον
he-happens before from another kind having-forced(-his-way) later
ἀναγκαῖον εἰς τοῦτο εἰστελεῖσθαι αὐτὸν τὸ γένος· ἔτι δὲ καὶ
necessary into this to-be-initiated him the kind further and also
τῶν Ἑλλήνων πολλαχοῦ ταῖς μεγίσταις ἀρχαῖς τὰ μέγιστα
of-the Greeks in-many-places to-the greatest offices the greatest
τῶν περὶ τὰ τοιαῦτα θύματα εὕροι τις ἂν προσταττόμενα
of-the about the such sacrifices would-find one — prescribed
θύειν. καὶ δὴ καὶ παρ' ὑμῖν οὐχ ἥκιστα δῆλον ὃ λέγω·
to-sacrifice and indeed also among you not least clear what I-say
τῷ γὰρ λαχόντι βασιλεῖ φασιν τῇδε τὰ σεμνότατα
to-the for having-obtained-by-lot king they-say here the most-solemn
καὶ μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι.
and most ancestral of-the ancient sacrifices to-have-been-assigned
Y. SOC. καὶ πάνυ γε.
and certainly at-least
STR. τούτους τε τοίνυν τοὺς κληρωτοὺς βασιλέας ἅμα καὶ 291
these both then the chosen-by-lot kings together and
ἱερέας, καὶ ὑπηρέτας αὐτῶν καί τινα ἕτερον πάμπολυν
priests and servants of-them and some other very-numerous
ὄχλον σκεπτέον, ὃς ἄρτι κατάδηλος νῦν ἡμῖν γέγονεν
crowd must-be-examined which just-now plain now to-us has-become
ἀποχωρισθέντων τῶν ἔμπροσθεν.
having-been-separated the before(-ones)

Y. SOC. τίνας δ' αὐτοὺς καὶ λέγεις;
whom and them also do-you-mean

STR. καὶ μάλα τινὰς ἀτόπους.
and very some strange(-ones)

Y. SOC. τί δή;
why indeed

b STR. πάμφυλόν τι γένος αὐτῶν, ὥς γε ἄρτι σκοπουμένῳ
of-every-tribe some kind of-them as at-least just-now to-one-examining
φαίνεται. πολλοὶ μὲν γὰρ λέουσι τῶν ἀνδρῶν εἴξασι
it-appears many indeed for to-lions of-the men are-like
καὶ Κενταύροις καὶ τοιούτοισιν ἑτέροις, πάμπολλοι δὲ
and to-Centaurs and to-such others very-many and
Σατύροις καὶ τοῖς ἀσθενέσι καὶ πολυτρόποις θηρίοις·
to-Satyrs and to-the weak and wily beasts
ταχὺ δὲ μεταλλάττουσι τάς τε ἰδέας καὶ τὴν δύναμιν
quickly and they-exchange the both forms and the power
εἰς ἀλλήλους. καὶ μέντοι μοι νῦν, ὦ Σώκρατες, ἄρτι
into one-another and however to-me now O Socrates just-now
δοκῶ κατανενοηκέναι τοὺς ἄνδρας.
I-seem to-have-perceived the men

Y. SOC. λέγοις ἄν· ἔοικας γὰρ ἄτοπόν τι καθορᾶν.
you-may-speak — you-seem for strange something to-see

c STR. ναί· τὸ γὰρ ἄτοπον ἐξ ἀγνοίας πᾶσι συμβαίνει. καὶ
yes the for strange from ignorance to-all happens and
γὰρ δὴ καὶ νῦν αὐτὸς τοῦτ' ἔπαθον· ἐξαίφνης ἠμφεγνόησα
for indeed also now myself this I-experienced suddenly I-was-at-a-loss
κατιδὼν τὸν περὶ τὰ τῶν πόλεων πράγματα χορόν.
having-seen the about the of-the cities affairs chorus

Y. SOC. ποῖον;
what-sort

STR. τὸν πάντων τῶν σοφιστῶν μέγιστον γόητα καὶ ταύτης
the of-all the sophists greatest wizard and of-this
τῆς τέχνης ἐμπειρότατον· ὃν ἀπὸ τῶν ὄντως ὄντων
the art most-experienced whom from the really being
πολιτικῶν καὶ βασιλικῶν καίπερ παγχάλεπον ὄντα ἀφαιρεῖν
statesmen and kingly(-men) although very-hard being to-take-away
ἀφαιρετέον, εἰ μέλλομεν ἱδεῖν ἐναργῶς τὸ ζητούμενον.
must-be-taken-away if we-are-going to-see plainly the thing-sought
Y. SOC. ἀλλὰ μὴν τοῦτό γε οὐκ ἀνετέον.
but indeed this at-least not must-be-given-up
STR. οὔκουν δὴ κατά γε τὴν ἐμήν. καί μοι φράζε
not-then indeed according-to at-least the my(-opinion) and me tell
τόδε.
this
Y. SOC. τὸ ποῖον;
the what-sort
STR. ἆρ᾽ οὐ μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστι μία; d
so not monarchy of-the political for-us rules is one
Y. SOC. ναί.
yes
STR. καὶ μετὰ μοναρχίαν εἴποι τις ἂν οἶμαι τὴν ὑπὸ
and after monarchy would-name one — I-think the by
τῶν ὀλίγων δυναστείαν.
the few domination
Y. SOC. πῶς δ᾽ οὔ;
how and not
STR. τρίτον δὲ σχῆμα πολιτείας οὐχ ἡ τοῦ πλήθους ἀρχή,
third and figure of-constitution not the of-the multitude rule
δημοκρατία τοὔνομα κληθεῖσα;
democracy by-name called
Y. SOC. καὶ πάνυ γε.
and certainly at-least

STR. τρεῖς δ' οὖσαι μῶν οὐ πέντε τρόπον τινὰ γίγνονται,
three and being surely-not not five in-a-way some become
δύ' ἐξ ἑαυτῶν ἄλλα πρὸς αὑταῖς ὀνόματα τίκτουσαι;
two from themselves other besides themselves names begetting
Y. SOC. ποῖα δή;
what-sort indeed
e STR. πρὸς τὸ βίαιόν που καὶ ἑκούσιον ἀποσκοποῦντες
toward the enforced surely and voluntary looking-off
νῦν καὶ πενίαν καὶ πλοῦτον καὶ νόμον καὶ ἀνομίαν ἐν
now and poverty and wealth and law and lawlessness in
αὐταῖς γιγνόμενα διπλῆν ἑκατέραν τοῖν δυοῖν διαιροῦντες
them occurring double each of-the two dividing
μοναρχίαν μὲν προσαγορεύουσιν ὡς δύο παρεχομένην εἴδη
monarchy indeed they-call as two furnishing forms
δυοῖν ὀνόμασι, τυραννίδι, τὸ δὲ βασιλικῇ.
by-two names by-tyranny the(-one) and by-kingship
Y. SOC. τί μήν;
what indeed
STR. τὴν δὲ ὑπ' ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν
the and by few at-least each-time ruled city
ἀριστοκρατίᾳ καὶ ὀλιγαρχίᾳ.
by-aristocracy and by-oligarchy
Y. SOC. καὶ πάνυ γε.
and certainly at-least

No constitution is right by its number of rulers, wealth or poverty, consent or force, or written law, but only by knowledge, which a multitude cannot have; a city of a thousand men would not hold even fifty first-rate checkers players. Like doctors who cure with or without our consent, true rulers may rule with or without laws. Young Socrates balks at rule without laws, and the stranger explains: law is like a stubborn, ignorant man, and gives every case one rule, though men and their acts never stand still. Laws are made all the same, as trainers set a crowd the same exercises, unable to prescribe for each body.

STR. δημοκρατίας γε μήν, ἐάντ᾽ οὖν βιαίως ἐάντε 292
of-democracy at-least indeed whether then by-force or
ἑκουσίως τῶν τὰς οὐσίας ἐχόντων τὸ πλῆθος ἄρχῃ, καὶ
willingly of-the the property having the multitude rules and
ἐάντε τοὺς νόμους ἀκριβῶς φυλάττον ἐάντε μή, πάντως
whether the laws precisely guarding or not wholly
τοὔνομα οὐδεὶς αὐτῆς εἴωθε μεταλλάττειν.
the-name no-one of-it is-accustomed to-change
Y. SOC. ἀληθῆ.
true-things
STR. τί οὖν; οἰόμεθά τινα τούτων τῶν πολιτειῶν ὀρθὴν εἶναι
what then do-we-think any of-these the constitutions right to-be
τούτοις τοῖς ὅροις ὁρισθεῖσαν, ἑνὶ καὶ ὀλίγοις καὶ πολλοῖς,
by-these the boundaries defined by-one and few and many
καὶ πλούτῳ καὶ πενίᾳ, καὶ τῷ βιαίῳ καὶ ἑκουσίῳ, καὶ
and wealth and poverty and the enforced and voluntary and
μετὰ γραμμάτων καὶ ἄνευ νόμων συμβαίνουσαν γίγνεσθαι;
with writings and without laws happening to-come-about
Y. SOC. τί γὰρ δὴ καὶ κωλύει;
what for indeed also prevents
STR. σκόπει δὴ σαφέστερον τῇδε ἑπόμενος. b
look indeed more-clearly in-this-way following

Y. SOC. πῇ;
how

STR. τῷ ῥηθέντι κατὰ πρώτας πότερον ἐμμενοῦμεν ἢ
to-the thing-said at first whether shall-we-abide or
διαφωνήσομεν;
shall-we-disagree

Y. SOC. τῷ δὴ ποίῳ λέγεις;
to-the indeed what-sort do-you-mean

STR. τὴν βασιλικὴν ἀρχὴν τῶν ἐπιστημῶν εἶναί τινα
the kingly rule of-the knowledges to-be some(-one)
ἔφαμεν, οἶμαι.
we-said I-think

Y. SOC. ναί.
yes

STR. καὶ τούτων γε οὐχ ἁπασῶν, ἀλλὰ κριτικὴν δήπου
and of-these at-least not of-all but a-judging surely
τινὰ καὶ ἐπιστατικὴν ἐκ τῶν ἄλλων προειλόμεθα.
some and a-presiding from the others we-chose

Y. SOC. ναί.
yes

c STR. κἀκ τῆς ἐπιστατικῆς τὴν μὲν ἐπ' ἀψύχοις
and-from the presiding(-art) the(-part) indeed over soulless
ἔργοις, τὴν δ' ἐπὶ ζῴοις· καὶ κατὰ τοῦτον δὴ τὸν
works the(-part) and over animals and according-to this indeed the
τρόπον μερίζοντες δεῦρ' ἀεὶ προεληλύθαμεν, ἐπιστήμης
way dividing hither always we-have-advanced of-knowledge
οὐκ ἐπιλανθανόμενοι, τὸ δ' ἥτις οὐχ ἱκανῶς
not forgetting the(-thing) and which(-knowledge) not sufficiently
πω δυνάμενοι διακριβώσασθαι.
yet being-able to-determine-precisely

Y. SOC. λέγεις ὀρθῶς.
you-speak rightly

STR. τοῦτ᾽ αὐτὸ τοίνυν ἆρ᾽ ἐννοοῦμεν, ὅτι τὸν ὅρον οὐκ
this itself then so do-we-perceive that the boundary not
ὀλίγους οὐδὲ πολλούς, οὐδὲ τὸ ἑκούσιον οὐδὲ τὸ ἀκούσιον,
few nor many nor the voluntary nor the involuntary
οὐδὲ πενίαν οὐδὲ πλοῦτον γίγνεσθαι περὶ αὐτῶν χρεών,
nor poverty nor wealth to-become about them is-needful
ἀλλά τινα ἐπιστήμην, εἴπερ ἀκολουθήσομεν τοῖς πρόσθεν;
but some knowledge if-indeed we-shall-follow the former(-things)
Y. SOC. ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον μὴ ποιεῖν. d
but indeed this at-least impossible not to-do
STR. ἐξ ἀνάγκης δὴ νῦν τοῦτο οὕτω σκεπτέον, ἐν τίνι
out-of necessity indeed now this so must-be-examined in which
ποτὲ τούτων ἐπιστήμη συμβαίνει γίγνεσθαι περὶ ἀνθρώπων
ever of-these knowledge happens to-come-about about of-men
ἀρχῆς, σχεδὸν τῆς χαλεπωτάτης καὶ μεγίστης κτήσασθαι.
rule nearly the hardest and greatest to-acquire
δεῖ γὰρ ἰδεῖν αὐτήν, ἵνα θεασώμεθα τίνας ἀφαιρετέον
one-must for to-see it so-that we-may-view whom one-must-take-away
ἀπὸ τοῦ φρονίμου βασιλέως, οἳ προσποιοῦνται μὲν εἶναι
from the prudent king who pretend indeed to-be
πολιτικοὶ καὶ πείθουσι πολλούς, εἰσὶ δὲ οὐδαμῶς.
statesmen and persuade many are but in-no-way
Y. SOC. δεῖ γὰρ δὴ ποιεῖν τοῦτο, ὡς ὁ λόγος ἡμῖν
one-must for indeed to-do this as the argument for-us
προείρηκεν.
has-said-before
STR. μῶν οὖν δοκεῖ πλῆθός γε ἐν πόλει ταύτην τὴν e
surely-not then does-it-seem a-multitude at-least in a-city this the
ἐπιστήμην δυνατὸν εἶναι κτήσασθαι;
knowledge possible to-be to-acquire
Y. SOC. καὶ πῶς;
and how

STR. ἀλλ᾽ ἆρα ἐν χιλιάνδρῳ πόλει δυνατὸν ἑκατόν τινας
but then in a-thousand-man city possible a-hundred some
ἢ καὶ πεντήκοντα αὐτὴν ἱκανῶς κτήσασθαι;
or even fifty it sufficiently to-acquire

293 Y. SOC. ῥᾴστη μεντἂν οὕτω γ᾽ εἴη πασῶν τῶν τεχνῶν·
easiest however-would so at-least it-be of-all the arts
ἴσμεν γὰρ ὅτι χιλίων ἀνδρῶν ἄκροι πεττευταὶ τοσοῦτοι
we-know for that of-a-thousand men top checkers-players so-many
πρὸς τοὺς ἐν τοῖς ἄλλοις Ἕλλησιν οὐκ ἂν
in-comparison-with the(-ones) among the other Greeks not —
γένοιντό ποτε, μή τι δὴ βασιλῆς γε. δεῖ γὰρ
there-would-be ever not to-mention indeed kings at-least one-must for
δὴ τόν γε τὴν βασιλικὴν ἔχοντα ἐπιστήμην, ἄν τ᾽
indeed the at-least the kingly having knowledge whether both
ἄρχῃ καὶ ἐὰν μή, κατὰ τὸν ἔμπροσθε λόγον ὅμως
he-rules and if not according-to the earlier argument nevertheless
βασιλικὸν προσαγορεύεσθαι.
kingly to-be-called

STR. καλῶς ἀπεμνημόνευσας. ἑπόμενον δὲ οἶμαι τούτῳ τὴν
well you-recalled following and I-think on-this the
μὲν ὀρθὴν ἀρχὴν περὶ ἕνα τινὰ καὶ δύο καὶ παντάπασιν
indeed right rule about one some and two and altogether
ὀλίγους δεῖ ζητεῖν, ὅταν ὀρθὴ γίγνηται.
few one-must to-seek whenever right it-becomes

Y. SOC. τί μήν;
what indeed

b STR. τούτους δέ γε, ἐάντε ἑκόντων ἄντ᾽ ἀκόντων
these and at-least whether over-willing(-subjects) or over-unwilling
ἄρχωσιν, ἐάντε κατὰ γράμματα ἐάντε ἄνευ γραμμάτων,
they-rule whether according-to writings or without writings
καὶ ἐὰν πλουτοῦντες ἢ πενόμενοι, νομιστέον, ὥσπερ
and if being-rich or being-poor it-must-be-thought as

νῦν ἡγούμεθα, κατὰ τέχνην ἡντινοῦν ἀρχὴν ἄρχοντας.
now we-think according-to art any-whatever rule ruling
τοὺς ἰατροὺς δὲ οὐχ ἥκιστα νενομίκαμεν, ἐάντε ἑκόντας
the physicians and not least we-have-thought whether willing
ἐάντε ἄκοντας ἡμᾶς ἰῶνται, τέμνοντες ἢ κάοντες ἤ
or unwilling us they-heal cutting or burning or
τινα ἄλλην ἀλγηδόνα προσάπτοντες, καὶ ἐὰν κατὰ
some other pain applying and if according-to
γράμματα ἢ χωρὶς γραμμάτων, καὶ ἐὰν πένητες ὄντες
writings or apart-from writings and if poor being
ἢ πλούσιοι, πάντως οὐδὲν ἧττον ἰατρούς φαμεν,
or rich wholly nothing less physicians we-call(-them)
ἕωσπερ ἂν ἐπιστατοῦντες τέχνῃ, καθαίροντες εἴτε ἄλλως
as-long-as — presiding by-art purging or otherwise
ἰσχναίνοντες εἴτε καὶ αὐξάνοντες, ἂν μόνον ἐπ᾽ ἀγαθῷ τῷ
reducing or even increasing if only for good the
τῶν σωμάτων, βελτίω ποιοῦντες ἐκ χειρόνων, σῴζωσιν
of-the bodies better making from worse they-save
οἱ θεραπεύοντες ἕκαστοι τὰ θεραπευόμενα· ταύτῃ
the(-ones) tending each the(-things) tended in-this-way
θήσομεν, ὡς οἶμαι, καὶ οὐκ ἄλλῃ, τοῦτον ὅρον ὀρθὸν
we-shall-set as I-think and not otherwise this boundary right
εἶναι μόνον ἰατρικῆς καὶ ἄλλης ἡστινοσοῦν ἀρχῆς.
to-be only of-medicine and of-other any-whatever rule

Y. SOC. κομιδῇ μὲν οὖν.
absolutely indeed then

STR. ἀναγκαῖον δὴ καὶ πολιτειῶν, ὡς ἔοικε, ταύτην d
necessary indeed also of-constitutions as it-seems this
ὀρθὴν διαφερόντως εἶναι καὶ μόνην πολιτείαν, ἐν ᾗ
right especially to-be and only constitution in which
τις ἂν εὑρίσκοι τοὺς ἄρχοντας ἀληθῶς ἐπιστήμονας καὶ
one — would-find the rulers truly knowing and

οὐ δοκοῦντας μόνον, ἐάντε κατὰ νόμους ἐάντε ἄνευ
not seeming only whether according-to laws or without
νόμων ἄρχωσι, καὶ ἑκόντων ἢ ἀκόντων, καὶ πενόμενοι
laws they-rule and over-willing or over-unwilling and being-poor
ἢ πλουτοῦντες, τούτων ὑπολογιστέον οὐδὲν οὐδαμῶς εἶναι
or being-rich of-these must-be-reckoned nothing in-any-way to-be
κατ' οὐδεμίαν ὀρθότητα.
according-to any rightness

Y. SOC. καλῶς.
well

e STR. καὶ ἐάντε γε ἀποκτεινύντες τινὰς ἢ καὶ ἐκβάλλοντες
and whether at-least killing some or also banishing
καθαίρωσιν ἐπ' ἀγαθῷ τὴν πόλιν, εἴτε καὶ ἀποικίας οἷον
they-purge for good the city or also colonies like
σμήνη μελιττῶν ἐκπέμποντές ποι σμικροτέραν ποιῶσιν,
swarms of-bees sending-out somewhere smaller they-make(-it)
ἤ τινας ἐπεισαγόμενοί ποθεν ἄλλους ἔξωθεν πολίτας
or some bringing-in from-somewhere others from-outside citizens
ποιοῦντες αὐτὴν αὔξωσιν, ἕωσπερ ἂν ἐπιστήμῃ καὶ τῷ
making it they-increase as-long-as — knowledge and the
δικαίῳ προσχρώμενοι σῴζοντες ἐκ χείρονος βελτίω ποιῶσι
just using preserving from worse better they-make
κατὰ δύναμιν, ταύτην τότε καὶ κατὰ τοὺς τοιούτους
according-to power this then and according-to the such
ὅρους ἡμῖν μόνην ὀρθὴν πολιτείαν εἶναι ῥητέον· ὅσας
boundaries for-us only right constitution to-be must-be-said as-many-as
δ' ἄλλας λέγομεν, οὐ γνησίας οὐδ' ὄντως οὔσας λεκτέον,
and others we-call not genuine nor really being must-be-called
ἀλλὰ μεμιμημένας ταύτην, ἃς μὲν ὡς εὐνόμους λέγομεν,
but imitating this which indeed as well-governed we-call
ἐπὶ τὰ καλλίω, τὰς δὲ ἄλλας ἐπὶ τὰ αἰσχίονα.
toward the finer(-things) the and others toward the more-shameful(-things)

Y. SOC. τὰ μὲν ἄλλα, ὦ ξένε, μετρίως ἔοικεν εἰρῆσθαι·
the indeed other-things O stranger moderately seem to-have-been-said
τὸ δὲ καὶ ἄνευ νόμων δεῖν ἄρχειν χαλεπώτερον ἀκούειν
the and even without laws one-must to-rule harder to-hear
ἐρρήθη.
was-said

STR. μικρόν γε ἔφθης με ἐρόμενος, ὦ Σώκρατες. 294
a-little at-least you-anticipated me asking O Socrates
ἔμελλον γάρ σε διερωτήσειν ταῦτα πότερον ἀποδέχῃ
I-was-going for you to-question-closely these-things whether you-accept
πάντα, ἤ τι καὶ δυσχεραίνεις τῶν λεχθέντων· νῦν δ'
all or something also you-are-annoyed-at of-the things-said now but
ἤδη φανερὸν ὅτι τοῦτο βουλησόμεθα τὸ περὶ τῆς τῶν
already plain that this we-shall-wish the about the of-the
ἄνευ νόμων ἀρχόντων ὀρθότητος διελθεῖν ἡμᾶς.
without laws ruling rightness to-go-through us

Y. SOC. πῶς γὰρ οὔ;
how for not

STR. τρόπον τινὰ μέντοι δῆλον ὅτι τῆς βασιλικῆς ἐστιν ἡ
in-a-way some however clear that of-the kingly(-art) is the
νομοθετική· τὸ δ' ἄριστον οὐ τοὺς νόμους ἐστὶν ἰσχύειν
legislative(-art) the and best not the laws is to-prevail
ἀλλ' ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν. οἶσθ' ὅπῃ;
but a-man the with prudence kingly do-you-know how

Y. SOC. πῇ δὴ λέγεις;
how indeed do-you-mean

STR. ὅτι νόμος οὐκ ἄν ποτε δύναιτο τό τε ἄριστον καὶ τὸ b
that law not — ever could the both best and the
δικαιότατον ἀκριβῶς πᾶσιν ἅμα περιλαβὼν τὸ βέλτιστον
most-just precisely for-all at-once embracing the best
ἐπιτάττειν· αἱ γὰρ ἀνομοιότητες τῶν τε ἀνθρώπων καὶ τῶν
to-command the for unlikenesses of-the both men and of-the

πράξεων καὶ τὸ μηδέποτε μηδὲν ὡς ἔπος εἰπεῖν ἡσυχίαν
actions and the never anything so a-word to-say quiet
ἄγειν τῶν ἀνθρωπίνων οὐδὲν ἐῶσιν ἁπλοῦν ἐν οὐδενὶ περὶ
to-keep of-the human-things nothing allow simple in anything about
ἁπάντων καὶ ἐπὶ πάντα τὸν χρόνον ἀποφαίνεσθαι τέχνην
all and for all the time to-declare art
οὐδ' ἡντινοῦν. ταῦτα δὴ συγχωροῦμέν που;
not-even any-whatever these-things indeed we-agree surely

Y. SOC. τί μήν;
what indeed

C STR. τὸν δέ γε νόμον ὁρῶμεν σχεδὸν ἐπ' αὐτὸ τοῦτο
the and at-least law we-see nearly toward itself this
συντείνοντα, ὥσπερ τινὰ ἄνθρωπον αὐθάδη καὶ ἀμαθῆ
straining as some man self-willed and ignorant
καὶ μηδένα μηδὲν ἐῶντα ποιεῖν παρὰ τὴν ἑαυτοῦ τάξιν,
and no-one anything allowing to-do contrary-to the his-own order
μηδ' ἐπερωτᾶν μηδένα, μηδ' ἄν τι νέον ἄρα τῳ
nor to-ask anyone not-even if something new then to-someone
συμβαίνῃ βέλτιον παρὰ τὸν λόγον ὃν αὐτὸς ἐπέταξεν.
happens better contrary-to the word which he-himself ordained

Y. SOC. ἀληθῆ· ποιεῖ γὰρ ἀτεχνῶς καθάπερ εἴρηκας νῦν ὁ
true-things it-does for simply as you-have-said now the
νόμος ἡμῖν ἑκάστοις.
law for-us to-each

STR. οὐκοῦν ἀδύνατον εὖ ἔχειν πρὸς τὰ μηδέποτε ἁπλᾶ
therefore impossible well to-hold toward the never simple(-things)
τὸ διὰ παντὸς γιγνόμενον ἁπλοῦν;
the(-thing) through all becoming simple

Y. SOC. κινδυνεύει.
it-is-likely

STR. διὰ τί δή ποτ᾽ οὖν ἀναγκαῖον νομοθετεῖν, ἐπειδήπερ d
for what indeed ever then necessary to-legislate since
οὐκ ὀρθότατον ὁ νόμος; ἀνευρετέον τούτου τὴν αἰτίαν.
not most-right the law must-be-found-out of-this the cause
Y. SOC. τί μήν;
what indeed
STR. οὐκοῦν καὶ παρ᾽ ὑμῖν εἰσί τινες οἷαι καὶ ἐν ἄλλαις
therefore also among you there-are some such-as also in other
πόλεσιν ἁθρόων ἀνθρώπων ἀσκήσεις, εἴτε πρὸς δρόμον
cities of-crowded men exercises whether for running
εἴτε πρὸς ἄλλο τι, φιλονικίας ἕνεκα;
or for other something of-rivalry for-the-sake-of
Y. SOC. καὶ πάνυ γε πολλαί.
and certainly at-least many
STR. φέρε νῦν ἀναλάβωμεν πάλιν μνήμῃ τὰς τῶν τέχνῃ
come now let-us-take-up again in-memory the of-the by-art
γυμναζόντων ἐπιτάξεις ἐν ταῖς τοιαύταις ἀρχαῖς.
training(-men) orders in the such rules
Y. SOC. τὸ ποῖον;
the what-sort
STR. ὅτι λεπτουργεῖν οὐκ ἐγχωρεῖν ἡγοῦνται καθ᾽ ἕνα ἕκαστον, e
that to-work-fine not to-be-possible they-think by one each
τῷ σώματι τὸ προσῆκον ἑκάστῳ προστάττοντες, ἀλλὰ
to-the body the befitting to-each prescribing but
παχύτερον οἴονται δεῖν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ πολλοὺς
more-coarsely they-think one-must as for the most-part and for many
τὴν τοῦ λυσιτελοῦντος τοῖς σώμασι ποιεῖσθαι τάξιν.
the of-the profitable for-the bodies to-make arrangement
Y. SOC. καλῶς.
well

STR. διὸ δή γε καὶ ἴσους πόνους νῦν διδόντες ἀθρόοις
wherefore indeed at-least also equal toils now giving to-crowds
ἅμα μὲν ἐξορμῶσιν, ἅμα δὲ καὶ καταπαύουσι δρόμου
together indeed they-start together and also they-stop of-running
καὶ πάλης καὶ πάντων τῶν κατὰ τὰ σώματα πόνων.
and of-wrestling and of-all the according-to the bodies toils
Y. SOC. ἔστι ταῦτα.
it-is these-things

XVI · WRITTEN LAW

The lawgiver, like a trainer, gives the crowd general rules. A doctor going abroad writes reminders, but on his return he changes them if something better appears. To forbid it would be laughable, and so too the forbidding of better laws to the one who knows. Force used rightly is no error; the true ruler, like a helmsman, saves his people by his art. Other constitutions copy this one, and their second-best is that no one break the laws.

295 STR. καὶ τὸν νομοθέτην τοίνυν ἡγώμεθα, τὸν ταῖσιν
and the lawgiver then let-us-think the(-one) over-the
ἀγέλαις ἐπιστατήσοντα τοῦ δικαίου πέρι καὶ τῶν πρὸς
herds going-to-preside of-the just about and of-the with
ἀλλήλους συμβολαίων, μή ποθ' ἱκανὸν γενήσεσθαι πᾶσιν
one-another contracts not ever sufficient to-become for-all
ἀθρόοις προστάττοντα ἀκριβῶς ἑνὶ ἑκάστῳ τὸ προσῆκον
to-crowds prescribing precisely to-one each the befitting
ἀποδιδόναι.
to-render
Y. SOC. τὸ γοῦν εἰκός.
the(-thing) at-any-rate likely

STR. ἀλλὰ τὸ τοῖς πολλοῖς γε οἶμαι καὶ ὡς ἐπὶ
but the(-thing) for-the many at-least I-think and as for
τὸ πολὺ καί πως οὑτωσὶ παχυτέρως ἑκάστοις τὸν
the most-part and somehow thus more-coarsely for-each the
νόμον θήσει, καὶ ἐν γράμμασιν ἀποδιδοὺς καὶ ἐν
law he-will-lay-down both in writings rendering(-it) and in
ἀγραμμάτοις, πατρίοις δὲ ἔθεσι νομοθετῶν.
unwritten ancestral and customs legislating

Y. SOC. ὀρθῶς.
rightly

STR. ὀρθῶς μέντοι. πῶς γὰρ ἄν τις ἱκανὸς γένοιτ' ἄν ποτε, b
rightly however how for — one competent could-become — ever
ὦ Σώκρατες, ὥστε διὰ βίου ἀεὶ παρακαθήμενος ἑκάστῳ
O Socrates so-as through life always sitting-beside each
δι' ἀκριβείας προστάττειν τὸ προσῆκον; ἐπεὶ τοῦτ' ἂν
through precision to-prescribe the befitting since this —
δυνατὸς ὤν, ὡς οἶμαι, τῶν τὴν βασιλικὴν ὁστισοῦν
able being as I-think of-the(-men) the kingly whoever
ὄντως ἐπιστήμην εἰληφότων σχολῇ ποτ' ἂν ἑαυτῷ θεῖτ'
really knowledge having-acquired hardly ever — for-himself would-set
ἐμποδίσματα γράφων τοὺς λεχθέντας τούτους νόμους.
hindrances writing the said these laws

Y. SOC. ἐκ τῶν νῦν γοῦν, ὦ ξένε, εἰρημένων.
from the now at-any-rate O stranger things-said

STR. μᾶλλον δέ γε, ὦ βέλτιστε, ἐκ τῶν μελλόντων
rather and at-least O best from the(-things) going-to
ῥηθήσεσθαι.
be-said

Y. SOC. τίνων δή;
which indeed

c STR. τῶν τοιῶνδε. εἴπωμεν γὰρ δὴ πρός γε ἡμᾶς αὐτοὺς
of-the such let-us-say for indeed to at-least us ourselves
ἰατρὸν μέλλοντα ἢ καί τινα γυμναστικὸν ἀποδημεῖν καὶ
a-physician going-to or also some trainer to-go-abroad and
ἀπέσεσθαι τῶν θεραπευομένων συχνόν, ὡς οἴοιτο,
to-be-away from-those being-tended long as he-would-think
χρόνον, μὴ μνημονεύσειν οἰηθέντα τὰ προσταχθέντα
time not to-remember thinking the(-things) prescribed
τοὺς γυμναζομένους ἢ τοὺς κάμνοντας, ὑπομνήματα
the(-ones) being-trained or the(-ones) ill reminders
γράφειν ἂν ἐθέλειν αὐτοῖς, ἢ πῶς;
to-write — to-be-willing for-them or how
Y. SOC. οὕτως.
so
d STR. τί δ' εἰ παρὰ δόξαν ἐλάττω χρόνον ἀποδημήσας
what and if contrary-to expectation less time having-been-abroad
ἔλθοι πάλιν; ἆρ' οὐκ ἂν παρ' ἐκεῖνα τὰ γράμματα
he-came back so not — contrary-to those the writings
τολμήσειεν ἄλλ' ὑποθέσθαι, συμβαινόντων ἄλλων βελτιόνων
would-he-dare others to-prescribe happening other better
τοῖς κάμνουσι διὰ πνεύματα ἤ τι καὶ ἄλλο παρὰ
for-the ill because-of winds or something also other contrary-to
τὴν ἐλπίδα τῶν ἐκ Διὸς ἑτέρως πως τῶν εἰωθότων
the expectation of-the from Zeus otherwise somehow than-the accustomed
γενόμενα, καρτερῶν δ' ἂν ἡγοῖτο δεῖν μὴ ἐκβαίνειν
having-occurred persevering but — would-he-think one-must not to-step-out-of
τἀρχαῖά ποτε νομοθετηθέντα μήτε αὐτὸν προστάττοντα
the-ancient-things once legislated neither himself prescribing
ἄλλα μήτε τὸν κάμνοντα ἕτερα τολμῶντα παρὰ
others nor the ill(-man) other-things daring contrary-to
τὰ γραφέντα δρᾶν, ὡς ταῦτα ὄντα ἰατρικὰ καὶ
the(-things) written to-do as these being medical and

ὑγιεινά, τὰ δὲ ἑτέρως γιγνόμενα νοσώδη τε καὶ οὐκ
healthy the(-things) and otherwise happening sickly both and not
ἔντεχνα· ἢ πᾶν τὸ τοιοῦτον ἔν γε ἐπιστήμῃ συμβαῖνον
artful or all the such in at-least knowledge happening
καὶ ἀληθεῖ τέχνῃ περὶ ἅπαντα παντάπασι γέλως ἂν ὁ
and true art about all altogether laughter — the
μέγιστος γίγνοιτο τῶν τοιούτων νομοθετημάτων;
greatest would-become of-the such legislations
Y. SOC. παντάπασι μὲν οὖν.
altogether indeed then
STR. τῷ δὲ τὰ δίκαια δὴ καὶ ἄδικα καὶ καλὰ 296
for-the(-one) and the just-things indeed and unjust-things and fine-things
καὶ αἰσχρὰ καὶ ἀγαθὰ καὶ κακὰ γράψαντι καὶ
and shameful-things and good-things and bad-things having-written and
ἄγραφα νομοθετήσαντι ταῖς τῶν ἀνθρώπων ἀγέλαις,
unwritten having-legislated for-the of-the men herds
ὁπόσαι κατὰ πόλιν ἐν ἑκάσταις νομεύονται κατὰ τοὺς
as-many-as by city in each are-herded according-to the
τῶν γραψάντων νόμους, ἂν ὁ μετὰ τέχνης γράψας
of-the having-written laws if the(-one) with art having-written
ἤ τις ἕτερος ὅμοιος ἀφίκηται, μὴ ἐξέστω δὴ παρὰ
or some other like arrives not let-it-be-allowed indeed contrary-to
ταῦτα ἕτερα προστάττειν; ἢ καὶ τοῦτο τὸ ἀπόρρημα
these other-things to-prescribe or also this the prohibition
οὐδὲν ἧττον ἂν ἐκείνου τῇ ἀληθείᾳ γελοῖον φαίνοιτο;
in-nothing less — than-that in-the truth ridiculous would-appear
Y. SOC. τί μήν;
what indeed
STR. οἶσθ' οὖν ἐπὶ τῷ τοιούτῳ λόγον τὸν παρὰ τῶν
you-know then on the such argument the from the
πολλῶν λεγόμενον;
many said

Y. SOC. οὐκ ἐννοῶ νῦν γ' οὕτως.
not I-perceive(-it) now at-least so

STR. καὶ μὴν εὐπρεπής. φασὶ γὰρ δὴ δεῖν, εἴ τις γιγνώσκει
and indeed (it-is)-plausible they-say for indeed one-must if one knows
παρὰ τοὺς τῶν ἔμπροσθεν βελτίους νόμους, νομοθετεῖν
beside the of-the former(-men) better laws to-legislate
τὴν ἑαυτοῦ πόλιν ἕκαστον πείσαντα, ἄλλως δὲ μή.
the his-own city each having-persuaded(-it) otherwise and not

Y. SOC. τί οὖν; οὐκ ὀρθῶς;
what then not rightly

b STR. ἴσως. ἂν δ' οὖν μὴ πείθων τις βιάζηται τὸ βέλτιον,
perhaps if and then not persuading one forces the better
ἀπόκριναι, τί τοὔνομα τῆς βίας ἔσται; μὴ μέντοι πω,
answer what the-name of-the force will-be not however yet
περὶ δὲ τῶν ἔμπροσθεν πρότερον.
about but the former(-things) first

Y. SOC. ποῖον δὴ λέγεις;
what-sort indeed do-you-mean

c STR. ἄν τις ἄρα μὴ πείθων τὸν ἰατρευόμενον, ἔχων δὲ
if one then not persuading the(-one) being-doctored having and
ὀρθῶς τὴν τέχνην, παρὰ τὰ γεγραμμένα τὸ βέλτιον
rightly the art contrary-to the(-things) written the better
ἀναγκάζῃ δρᾶν παῖδα ἢ τινα ἄνδρα ἢ καὶ γυναῖκα, τί
compels to-do a-child or some man or also woman what
τοὔνομα τῆς βίας ἔσται ταύτης; ἆρ' οὐ πᾶν μᾶλλον
the-name of-the force will-be this so not anything rather
ἢ τὸ παρὰ τὴν τέχνην λεγόμενον ἁμάρτημα τὸ
than the(-one) contrary-to the art called error the
νοσῶδες; καὶ πάντα ὀρθῶς εἰπεῖν ἔστι πρότερον τῷ
sickly and all rightly to-say is before for-the(-one)

βιασθέντι περὶ τὸ τοιοῦτον πλὴν ὅτι νοσώδη καὶ ἄτεχνα
forced about the such except that sickly-things and artless-things
πέπονθεν ὑπὸ τῶν βιασαμένων ἰατρῶν;
he-has-suffered by the having-forced physicians
Y. SOC. ἀληθέστατα λέγεις.
most-truly you-speak
STR. τί δὲ ἡμῖν δὴ τὸ παρὰ τὴν πολιτικὴν τέχνην
what and for-us indeed the(-thing) contrary-to the political art
ἁμάρτημα λεγόμενόν ἐστιν; ἆρ᾽ οὐ τὸ αἰσχρὸν καὶ κακὸν
error called is so not the shameful and bad
καὶ ἄδικον;
and unjust
Y. SOC. παντάπασί γε.
altogether at-least
STR. τῶν δὴ βιασθέντων παρὰ τὰ γεγραμμένα καὶ d
of-the indeed forced contrary-to the(-things) written and
πάτρια δρᾶν ἕτερα δικαιότερα καὶ ἀμείνω καὶ καλλίω
ancestral to-do other-things more-just and better and finer
τῶν ἔμπροσθεν, φέρε, τὸν τῶν τοιούτων αὖ ψόγον περὶ
than-the former(-things) come the of-the such(-men) again blame about
τῆς τοιαύτης βίας, ἆρ᾽, εἰ μέλλει μὴ καταγελαστότατος
the such force so if he-is-going not most-ridiculous
εἶναι πάντων, πάντ᾽ αὐτῷ μᾶλλον λεκτέον ἑκάστοτε
to-be of-all all-things by-him rather must-be-said each-time
πλὴν ὡς αἰσχρὰ καὶ ἄδικα καὶ κακὰ πεπόνθασιν
except that shameful-things and unjust-things and bad-things have-suffered
οἱ βιασθέντες ὑπὸ τῶν βιασαμένων;
the(-ones) forced by the having-forced(-ones)
Y. SOC. ἀληθέστατα λέγεις.
most-truly you-speak

e STR. ἀλλ᾽ ἆρα ἐὰν μὲν πλούσιος ὁ βιασάμενος ᾖ,
but then if indeed rich the(-one) having-forced be
δίκαια, ἂν δ᾽ ἄρα πένης, ἄδικα τὰ βιασθέντα
just-things if but then poor unjust-things the(-things) forced
ἐστίν; ἢ κἂν πείσας κἂν μὴ πείσας τις, πλούσιος
are or even-if having-persuaded even-if not having-persuaded one rich
ἢ πένης, ἢ κατὰ γράμματα ἢ παρὰ γράμματα, δρᾷ
or poor or according-to writings or contrary-to writings does
σύμφορα, τοῦτον δεῖ καὶ περὶ ταῦτα τὸν ὅρον εἶναι
beneficial-things this must also about these-things the definition be
τόν γε ἀληθινώτατον ὀρθῆς πόλεως διοικήσεως, ὃν ὁ
the at-least truest of-right city administration by-which the
σοφὸς καὶ ἀγαθὸς ἀνὴρ διοικήσει τὸ τῶν ἀρχομένων;
wise and good man will-administer the(-affairs) of-the ruled
297 ὥσπερ ὁ κυβερνήτης τὸ τῆς νεὼς καὶ ναυτῶν ἀεὶ συμφέρον
as the helmsman the of-the ship and sailors always advantage
παραφυλάττων, οὐ γράμματα τιθεὶς ἀλλὰ τὴν τέχνην νόμον
watching-over not writings setting but the art law
παρεχόμενος, σῴζει τοὺς συνναύτας, οὕτω καὶ κατὰ τὸν
furnishing saves the fellow-sailors so also according-to the
αὐτὸν τρόπον τοῦτον παρὰ τῶν οὕτως ἄρχειν δυναμένων
same way this from the(-men) so to-rule able
ὀρθὴ γίγνοιτ᾽ ἂν πολιτεία, τὴν τῆς τέχνης ῥώμην τῶν
right would-come-about — constitution the of-the art strength than-the
νόμων παρεχομένων κρείττω; καὶ πάντα ποιοῦσι τοῖς
laws furnishing stronger and all doing for-the
ἔμφροσιν ἄρχουσιν οὐκ ἔστιν ἁμάρτημα, μέχριπερ ἂν ἓν
sensible rulers not there-is error as-long-as — one
μέγα φυλάττωσι, τὸ μετὰ νοῦ καὶ τέχνης δικαιότατον ἀεὶ
great-thing they-guard the with mind and art most-just always

διανέμοντες τοῖς ἐν τῇ πόλει σῴζειν τε αὐτοὺς οἷοί τε ὦσιν
distributing to-those in the city to-save both them able — they-are
καὶ ἀμείνους ἐκ χειρόνων ἀποτελεῖν κατὰ τὸ δυνατόν;
and better from worse to-make according-to the possible
Y. SOC. οὐκ ἔστ' ἀντειπεῖν παρά γε ἃ νῦν εἴρηται.
not it-is to-speak-against contrary-to at-least what now has-been-said
STR. καὶ μὴν πρὸς ἐκεῖνα οὐδὲ ἀντιρρητέον.
and indeed against those-things not-even must-one-object
Y. SOC. τὰ ποῖα εἶπες;
the what-sort did-you-say
STR. ὡς οὐκ ἄν ποτε πλῆθος οὐδ' ὡντινωνοῦν τὴν c
that not — ever a-multitude not-even of-any-whatever the
τοιαύτην λαβὸν ἐπιστήμην οἷόν τ' ἂν γένοιτο μετὰ
such having-received knowledge able — — would-become with
νοῦ διοικεῖν πόλιν, ἀλλὰ περὶ σμικρόν τι καὶ ὀλίγον
mind to-administer a-city but about small something and few
καὶ τὸ ἕν ἐστι ζητητέον τὴν μίαν ἐκείνην πολιτείαν τὴν
and the one is must-be-sought the one that constitution the
ὀρθήν, τὰς δ' ἄλλας μιμήματα θετέον, ὥσπερ καὶ ὀλίγον
right the and others imitations must-be-set as also a-little
πρότερον ἐρρήθη, τὰς μὲν ἐπὶ τὰ καλλίονα, τὰς
before was-said the(-ones) indeed toward the finer(-things) the(-others)
δ' ἐπὶ τὰ αἰσχίω μιμουμένας ταύτην.
and toward the more-shameful(-things) imitating this
Y. SOC. πῶς τί τοῦτ' εἴρηκας; οὐδὲ γὰρ ἄρτι δῆθεν
how what this have-you-said not-even for just-now indeed
κατέμαθον τὸ περὶ τῶν μιμημάτων.
did-I-understand the(-thing) about the imitations

d STR. καὶ μὴν οὐ φαῦλόν γε, ἂν κινήσας τις τοῦτον τὸν
and indeed not trivial at-least if having-stirred one this the
λόγον αὐτοῦ καταβάλῃ καὶ μὴ διελθὼν ἐνδείξηται
argument there leaves(-it) and not having-gone-through shows
τὸ νῦν γιγνόμενον ἁμάρτημα περὶ αὐτό.
the now occurring error about it
Y. SOC. ποῖον δή;
what-sort indeed
STR. τοιόνδε τι δεῖ γε ζητεῖν, οὐ πάνυ σύνηθες
such something one-must at-least to-seek not very usual
οὐδὲ ῥᾴδιον ἰδεῖν· ὅμως μὴν πειρώμεθα λαβεῖν αὐτό.
nor easy to-see nevertheless indeed let-us-try to-grasp it
φέρε γάρ· ὀρθῆς ἡμῖν μόνης οὔσης ταύτης τῆς πολιτείας
come for right for-us alone being this the constitution
ἣν εἰρήκαμεν, οἶσθ' ὅτι τὰς ἄλλας δεῖ τοῖς ταύτης
which we-have-named you-know that the others must the of-this
συγγράμμασι χρωμένας οὕτω σῴζεσθαι, δρώσας τὸ νῦν
writings using so to-be-preserved doing the now
ἐπαινούμενον, καίπερ οὐκ ὀρθότατον ὄν;
praised although not most-right being
Y. SOC. τὸ ποῖον;
the what-sort
e STR. τὸ παρὰ τοὺς νόμους μηδὲν μηδένα τολμᾶν ποιεῖν
the contrary-to the laws nothing anyone to-dare to-do
τῶν ἐν τῇ πόλει, τὸν τολμῶντα δὲ θανάτῳ ζημιοῦσθαι
of-the(-men) in the city the(-one) daring and with-death to-be-punished
καὶ πᾶσι τοῖς ἐσχάτοις. καὶ τοῦτ' ἔστιν ὀρθότατα καὶ
and with-all the extremest(-penalties) and this is most-rightly and
κάλλιστ' ἔχον ὡς δεύτερον, ἐπειδὰν τὸ πρῶτόν τις μεταθῇ
most-finely holding as second when the first one changes

τὸ νυνδὴ ῥηθέν· ᾧ δὲ τρόπῳ γεγονός ἐστι τοῦτο
the just-now said(-constitution) in-what and way having-come-about is this
ὃ δὴ δεύτερον ἐφήσαμεν, διαπερανώμεθα. ἦ γάρ;
which indeed second we-called let-us-go-through is-it-not for

Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then

STR. εἰς δὴ τὰς εἰκόνας ἐπανίωμεν πάλιν, αἷς ἀναγκαῖον
to indeed the images let-us-go-back again to-which necessary
ἀπεικάζειν ἀεὶ τοὺς βασιλικοὺς ἄρχοντας.
to-liken always the kingly rulers

Y. SOC. ποίας;
what-sort

STR. τὸν γενναῖον κυβερνήτην καὶ τὸν ἑτέρων πολλῶν
the noble helmsman and the of-others many
ἀντάξιον ἰατρόν. κατίδωμεν γὰρ δή τι σχῆμα ἐν τούτοις
worth physician let-us-see-clearly for indeed some figure in these
αὐτοῖς πλασάμενοι.
themselves having-molded

Y. SOC. ποῖόν τι;
what-sort something

Suppose that doctors and pilots, suspected of abuses, were ruled by the assembly's votes, written on tablets, with yearly officers chosen by lot and audited after. Anyone inquiring beyond the writings would be called a stargazer and a sophist and prosecuted, and every art would perish. Worse still would be officers who broke the laws for gain. So, short of knowledge, the second-best course is never to break the laws, which imitate the truth; only the knowing statesman may depart from them, and no multitude can acquire his art.

298 STR. τοιόνδε· οἷον εἰ πάντες περὶ αὐτῶν διανοηθεῖμεν
such as if all about them we-should-consider
ὅτι δεινότατα ὑπ' αὐτῶν πάσχομεν. ὃν μὲν γὰρ ἂν
that most-terrible-things by them we-suffer whom indeed for —
ἐθελήσωσιν ἡμῶν τούτων ἑκάτεροι σῴζειν, ὁμοίως δὴ
they-wish of-us these each-of-the-two to-save alike indeed
σῴζουσιν, ὃν δ' ἂν λωβᾶσθαι βουληθῶσιν, λωβῶνται
they-save whom and — to-maltreat they-wish they-maltreat
τέμνοντες καὶ κάοντες καὶ προστάττοντες ἀναλώματα
cutting and burning and ordering expenses
φέρειν παρ' ἑαυτοὺς οἷον φόρους, ὧν σμικρὰ μὲν εἰς
to-bring to themselves like tributes of-which small(-part) indeed on
τὸν κάμνοντα καὶ οὐδὲν ἀναλίσκουσιν, τοῖς δ' ἄλλοις
the patient and nothing they-spend the and rest
αὐτοί τε καὶ οἱ οἰκέται χρῶνται· καὶ δὴ καὶ τελευτῶντες
themselves both and the servants use and indeed also ending-up
ἢ παρὰ συγγενῶν ἢ παρά τινων ἐχθρῶν τοῦ κάμνοντος
either from kinsmen or from some enemies of-the patient
χρήματα μισθὸν λαμβάνοντες ἀποκτεινύασιν. οἵ τ' ἂν
money as-pay receiving they-kill(-him) the(-ones) both
αὖ κυβερνῆται μυρία ἕτερα τοιαῦτα ἐργάζονται,
again helmsmen ten-thousand other such work

καταλείποντές τε ἔκ τινος ἐπιβουλῆς ἐν ταῖς ἀναγωγαῖς
leaving-behind both from some plot in the putting-out-to-sea
ἐρήμους, καὶ σφάλματα ποιοῦντες ἐν τοῖς πελάγεσιν
deserted(-men) and blunders making in the open-seas
ἐκβάλλουσιν εἰς τὴν θάλατταν, καὶ ἕτερα κακουργοῦσιν.
they-throw into the sea and other-things they-do-evil
εἰ δὴ ταῦτα διανοηθέντες βουλευσαίμεθα περὶ αὐτῶν
if indeed these-things having-considered we-should-take-counsel about them
βουλήν τινα, τούτων τῶν τεχνῶν μηκέτι ἐπιτρέπειν ἄρχειν
counsel some of-these the arts no-longer to-entrust to-rule
αὐτοκράτορι μηδετέρᾳ μήτ' οὖν δούλων μήτ' ἐλευθέρων,
absolute neither-of-them neither then of-slaves nor of-free(-men)
συλλέξαι δ' ἐκκλησίαν ἡμῶν αὐτῶν, ἢ σύμπαντα τὸν
to-collect and an-assembly of-us ourselves either all the
δῆμον ἢ τοὺς πλουσίους μόνον, ἐξεῖναι δὲ καὶ ἰδιωτῶν
people or the rich only to-be-allowed and also of-laymen
καὶ τῶν ἄλλων δημιουργῶν περί τε πλοῦ καὶ περὶ νόσων
and of-the other craftsmen about both sailing and about diseases
γνώμην ξυμβαλέσθαι καθ' ὅτι χρὴ τοῖς φαρμάκοις ἡμᾶς
opinion to-contribute according-to what must the drugs us
καὶ τοῖς ἰατρικοῖς ὀργάνοις πρὸς τοὺς κάμνοντας χρῆσθαι,
and the medical instruments toward the sick to-use
καὶ δὴ καὶ τοῖς πλοίοις τε αὐτοῖς καὶ τοῖς ναυτικοῖς
and indeed also the ships both themselves and the nautical
ὀργάνοις εἰς τὴν τῶν πλοίων χρείαν καὶ περὶ τοὺς
instruments for the of-the ships use and about the
κινδύνους τούς τε πρὸς αὐτὸν τὸν πλοῦν ἀνέμων καὶ
dangers the(-ones) both in-respect-of itself the voyage of-winds and
θαλάττης πέρι καὶ πρὸς τὰς τοῖς λῃσταῖς ἐντεύξεις,
of-sea about and in-respect-of the with-the pirates encounters
καὶ ἐὰν ναυμαχεῖν ἄρα δέῃ που μακροῖς πλοίοις
and if to-fight-at-sea then it-is-needful somewhere with-long ships

πρὸς ἕτερα τοιαῦτα· τὰ δὲ τῷ πλήθει δόξαντα
against other such(-ships) the(-things) and to-the multitude having-seemed-good
περὶ τούτων, εἴτε τινῶν ἰατρῶν καὶ κυβερνητῶν εἴτ᾽
about these whether of-some physicians and helmsmen or
ἄλλων ἰδιωτῶν συμβουλευόντων, γράψαντας ἐν κύρβεσί
of-other laymen advising having-written on tablets
τισι καὶ στήλαις, τὰ δὲ καὶ ἄγραφα πάτρια θεμένους
some and pillars the(-things) and also unwritten ancestral having-set
ἔθη, κατὰ ταῦτα ἤδη πάντα τὸν ἔπειτα χρόνον
customs according-to these already all the subsequent time
ναυτίλλεσθαι καὶ τὰς τῶν καμνόντων θεραπείας ποιεῖσθαι.
to-sail and the of-the sick treatments to-make
Y. SOC. κομιδῇ γε εἴρηκας ἄτοπα.
absolutely at-least you-have-said strange-things
STR. κατ᾽ ἐνιαυτὸν δέ γε ἄρχοντας καθίστασθαι
by year and at-least rulers to-be-appointed
τοῦ πλήθους, εἴτε ἐκ τῶν πλουσίων εἴτε ἐκ τοῦ
of-the multitude whether from the rich or from the
δήμου παντός, ὃς ἂν κληρούμενος λαγχάνῃ· τοὺς δὲ
people whole whoever — drawing-lots obtains(-it) the and
καταστάντας ἄρχοντας ἄρχειν κατὰ τὰ γράμματα
appointed rulers to-rule according-to the writings
κυβερνῶντας τὰς ναῦς καὶ τοὺς κάμνοντας ἰωμένους.
steering the ships and the sick healing
Y. SOC. ταῦτ᾽ ἔτι χαλεπώτερα.
these-things still harder
299 STR. θεῶ δὴ καὶ τὸ μετὰ ταῦτα ἑπόμενον. ἐπειδὰν
consider indeed also the(-thing) after these-things following when
art mingling toward one-another of-these the(-ones) indeed toward the
ἀνδρείαν μᾶλλον συντεινούσας, οἷον στημονοφυὲς νομίσασ᾽
courage more straining as warp-like having-thought
αὐτῶν εἶναι τὸ στερεὸν ἦθος, τὰς δὲ ἐπὶ τὸ κόσμιον
of-them to-be the firm character the(-ones) and toward the orderly
πίονί τε καὶ μαλακῷ καὶ κατὰ τὴν εἰκόνα κροκώδει
with-the-thick both and soft and according-to the image woof-like
διανήματι προσχρωμένας, ἐναντία δὲ τεινούσας ἀλλήλαις,
spun-thread using opposite-ways and straining with-one-another
πειρᾶται τοιόνδε τινὰ τρόπον συνδεῖν καὶ συμπλέκειν.
it-tries in-such some way to-bind-together and to-intertwine
Y. SOC. ποῖον δή;
what-sort indeed

c STR. πρῶτον μὲν κατὰ τὸ συγγενὲς τὸ ἀειγενὲς ὂν
first indeed according-to the kindred the eternal being
τῆς ψυχῆς αὐτῶν μέρος θείῳ συναρμοσαμένη δεσμῷ,
of-the soul of-them part with-divine having-fitted bond
μετὰ δὲ τὸ θεῖον τὸ ζῳογενὲς αὐτῶν αὖθις ἀνθρωπίνοις.
after and the divine the animal-born of-them again with-human(-bonds)
Y. SOC. πῶς τοῦτ᾽ εἶπες αὖ;
how this did-you-say again

STR. τὴν τῶν καλῶν καὶ δικαίων πέρι καὶ ἀγαθῶν καὶ
the of-the fine-things and just-things about and good-things and
τῶν τούτοις ἐναντίων ὄντως οὖσαν ἀληθῆ δόξαν μετὰ
of-the to-these opposite really being true opinion with
βεβαιώσεως, ὁπόταν ἐν ψυχαῖς ἐγγίγνηται, θείαν φημὶ ἐν
confirmation whenever in souls it-comes-about divine I-say in
δαιμονίῳ γίγνεσθαι γένει.
a-daemonic to-come-about kind

Y. SOC. πρέπει γοῦν οὕτω.
it-befits at-any-rate so

STR. τὸν δὴ πολιτικὸν καὶ τὸν ἀγαθὸν νομοθέτην d
the indeed statesman and the good lawgiver
ἆρ᾽ ἴσμεν ὅτι προσήκει μόνον δυνατὸν εἶναι τῇ
so do-we-know that it-befits alone able to-be by-the
τῆς βασιλικῆς μούσῃ τοῦτο αὐτὸ ἐμποιεῖν τοῖς ὀρθῶς
of-the kingly(-art) music this itself to-instil in-those rightly
μεταλαβοῦσι παιδείας, οὓς ἐλέγομεν νυνδή;
having-partaken of-education whom we-were-mentioning just-now

Y. SOC. τὸ γοῦν εἰκός.
the(-thing) at-any-rate likely

STR. ὃς δ᾽ ἂν δρᾶν γε, ὦ Σώκρατες, ἀδυνατῇ τὸ
whoever and — to-do at-least O Socrates is-unable the
τοιοῦτον, μηδέποτε τοῖς νῦν ζητουμένοις ὀνόμασιν αὐτὸν
such never by-the now being-sought names him
προσαγορεύωμεν.
let-us-address

Y. SOC. ὀρθότατα.
most-rightly

STR. τί οὖν; ἀνδρεία ψυχὴ λαμβανομένη τῆς τοιαύτης e
what then a-brave soul laying-hold of-the such
ἀληθείας ἆρ᾽ οὐχ ἡμεροῦται καὶ τῶν δικαίων μάλιστα
truth so not is-it-tamed and of-the just most

οὕτω κοινωνεῖν ἂν ἐθελήσειεν, μὴ μεταλαβοῦσα δὲ
so to-share — would-it-wish not having-partaken and
ἀποκλινεῖ μᾶλλον πρὸς θηριώδη τινὰ φύσιν;
will-it-incline rather toward bestial some nature
Y. SOC. πῶς δ' οὔ;
how and not
STR. τί δὲ τὸ τῆς κοσμίας φύσεως; ἆρ' οὐ τούτων μὲν
what and the of-the orderly nature so not of-these indeed
μεταλαβὸν τῶν δοξῶν ὄντως σῶφρον καὶ φρόνιμον, ὥς
having-partaken the opinions really moderate and prudent as
γε ἐν πολιτείᾳ, γίγνεται, μὴ κοινωνῆσαν δὲ ὧν λέγομεν
at-least in a-constitution becomes not having-shared and in-what we-say
ἐπονείδιστόν τινα εὐηθείας δικαιότατα λαμβάνει φήμην;
reproachful some of-simplicity most-justly receives name
Y. SOC. πάνυ μὲν οὖν.
certainly indeed then
STR. οὐκοῦν συμπλοκὴν καὶ δεσμὸν τοῦτον τοῖς μὲν κακοῖς
therefore intertwining and bond this for-the indeed bad
πρὸς σφᾶς αὐτοὺς καὶ τοῖς ἀγαθοῖς πρὸς τοὺς κακοὺς
toward them themselves and for-the good toward the bad
μηδέποτε μόνιμον φῶμεν γίγνεσθαι, μηδέ τινα ἐπιστήμην
never stable shall-we-say to-become nor any knowledge
αὐτῷ σπουδῇ πρὸς τοὺς τοιούτους ἂν χρῆσθαί ποτε;
it seriously toward the such — to-use ever
Y. SOC. πῶς γάρ;
how for
310 STR. τοῖς δ' εὐγενέσι γενομένοις τε ἐξ ἀρχῆς ἤθεσι
in-the and well-born born both from (the)-beginning characters
θρεφθεῖσί τε κατὰ φύσιν μόνοις διὰ νόμων ἐμφύεσθαι,
nurtured both according-to nature alone through laws to-grow-in
καὶ ἐπὶ τούτοις δὴ τοῦτ' εἶναι τέχνῃ φάρμακον, καὶ καθάπερ
and for these indeed this to-be by-art a-remedy and as

εἴπομεν τοῦτον θειότερον εἶναι τὸν σύνδεσμον ἀρετῆς
we-said this more-divine to-be the bond of-virtue
μερῶν φύσεως ἀνομοίων καὶ ἐπὶ τὰ ἐναντία φερομένων.
of-parts by-nature unlike and toward the opposite borne
Y. SOC. ἀληθέστατα.
most-truly
STR. τοὺς μὴν λοιπούς, ὄντας ἀνθρωπίνους δεσμούς,
the indeed remaining being human bonds
ὑπάρχοντος τούτου τοῦ θείου σχεδὸν οὐδὲν χαλεπὸν οὔτε
existing this the divine nearly nothing hard either
ἐννοεῖν οὔτε ἐννοήσαντα ἀποτελεῖν.
to-conceive or having-conceived to-accomplish
Y. SOC. πῶς δή, καὶ τίνας; b
how indeed and which
STR. τοὺς τῶν ἐπιγαμιῶν καὶ παίδων κοινωνήσεων καὶ
the(-ones) of-the intermarriages and of-children sharings and
τῶν περὶ τὰς ἰδίας ἐκδόσεις καὶ γάμους. οἱ γὰρ
of-the about the private givings-in-marriage and marriages the for
πολλοὶ τὰ περὶ ταῦτα οὐκ ὀρθῶς συνδοῦνται πρὸς
many the(-things) about these not rightly they-bind for
τὴν τῶν παίδων γέννησιν.
the of-the children begetting
Y. SOC. τί δή;
why indeed
STR. τὰ μὲν πλούτου καὶ δυνάμεων ἐν τοῖς τοιούτοις
the indeed of-wealth and of-powers in the such
διώγματα τί καί τις ἂν ὡς ἄξια λόγου σπουδάζοι
pursuits why also one — as worthy of-account should-take-seriously
μεμφόμενος;
blaming(-them)
Y. SOC. οὐδέν.
not-at-all

c STR. μᾶλλον δέ γε δίκαιον τῶν περὶ τὰ γένη
rather and at-least just of-the(-men) about the kinds
ποιουμένων ἐπιμέλειαν τούτων πέρι λέγειν, εἴ τι μὴ
making care these about to-speak if anything not
κατὰ τρόπον πράττουσιν.
according-to way they-do
Y. SOC. εἰκὸς γὰρ οὖν.
likely for indeed
STR. πράττουσι μὲν δὴ οὐδ' ἐξ ἑνὸς ὀρθοῦ λόγου,
they-act indeed indeed not-even from one right reason
τὴν ἐν τῷ παραχρῆμα διώκοντες ῥᾳστώνην καὶ τῷ τοὺς
the in the immediate pursuing ease and by-the the
μὲν προσομοίους αὐτοῖς ἀσπάζεσθαι, τοὺς δ' ἀνομοίους
indeed like to-themselves to-welcome the and unlike
μὴ στέργειν, πλεῖστον τῇ δυσχερείᾳ μέρος ἀπονέμοντες.
not to-love greatest to-the annoyance part assigning
Y. SOC. πῶς;
how
d STR. οἱ μέν που κόσμιοι τὸ σφέτερον αὐτῶν ἦθος
the(-ones) indeed surely orderly the their-own of-them character
ζητοῦσι, καὶ κατὰ δύναμιν γαμοῦσί τε παρὰ τούτων καὶ
seek and according-to power they-marry both from these and
τὰς ἐκδιδομένας παρ' αὐτῶν εἰς τούτους ἐκπέμπουσι
the(-daughters) given-in-marriage from themselves to these they-send-out
πάλιν· ὡς δ' αὕτως τὸ περὶ τὴν ἀνδρείαν γένος δρᾷ,
again as and likewise the about the courage kind does
τὴν αὑτοῦ μεταδιῶκον φύσιν, δέον ποιεῖν ἀμφότερα
the its-own pursuing nature it-being-needful to-do both
τὰ γένη τούτων τοὐναντίον ἅπαν.
the kinds of-these the-opposite whole
Y. SOC. πῶς, καὶ διὰ τί;
how and for what

STR. διότι πέφυκεν ἀνδρεία τε ἐν πολλαῖς γενέσεσιν
because is-by-nature courage both in many generations
ἄμεικτος γεννωμένη σώφρονι φύσει κατὰ μὲν ἀρχὰς
unmixed begotten with-moderate nature at indeed beginnings
ἀκμάζειν ῥώμῃ, τελευτῶσα δὲ ἐξανθεῖν παντάπασι μανίαις.
to-flourish in-strength ending and to-break-out altogether in-madnesses
Y. SOC. εἰκός.
likely
STR. ἡ δὲ αἰδοῦς γε αὖ λίαν πλήρης ψυχὴ καὶ e
the and with-shame at-least again too full soul and
ἀκέραστος τόλμης ἀνδρείας, ἐπὶ δὲ γενεὰς πολλὰς
unmixed of-daring of-courage over and generations many
οὕτω γεννηθεῖσα, νωθεστέρα φύεσθαι τοῦ καιροῦ καὶ
so begotten more-sluggish to-grow than-the season and
ἀποτελευτῶσα δὴ παντάπασιν ἀναπηροῦσθαι.
ending indeed altogether to-be-crippled
Y. SOC. καὶ τοῦτ' εἰκὸς οὕτω συμβαίνειν.
also this likely so to-happen
STR. τούτους δὴ τοὺς δεσμοὺς ἔλεγον ὅτι χαλεπὸν 311
these indeed the bonds I-was-saying that hard
οὐδὲν συνδεῖν ὑπάρξαντος τοῦ περὶ τὰ καλὰ κἀγαθὰ
nothing to-bind-together existing the about the fine and-good
μίαν ἔχειν ἀμφότερα τὰ γένη δόξαν. τοῦτο γὰρ ἓν
one to-have both the kinds opinion this for one
καὶ ὅλον ἐστὶ βασιλικῆς συνυφάνσεως ἔργον, μηδέποτε
and whole is of-kingly weaving-together work never
ἐᾶν ἀφίστασθαι σώφρονα ἀπὸ τῶν ἀνδρείων ἤθη,
to-allow to-stand-apart moderate from the brave characters
συγκερκίζοντα δὲ ὁμοδοξίαις καὶ τιμαῖς καὶ ἀτιμίαις καὶ
weaving-together but with-agreements and honors and dishonors and
δόξαις καὶ ὁμηρειῶν ἐκδόσεσιν εἰς ἀλλήλους, λεῖον καὶ
opinions and of-pledges with-givings to one-another smooth and

τὸ λεγόμενον εὐήτριον ὕφασμα συνάγοντα ἐξ αὐτῶν, τὰς
the so-called well-woven web bringing-together from them the
ἐν ταῖς πόλεσιν ἀρχὰς ἀεὶ κοινῇ τούτοις ἐπιτρέπειν.
in the cities offices always in-common to-these to-entrust

Y. SOC. πῶς;
how

STR. οὗ μὲν ἂν ἑνὸς ἄρχοντος χρεία συμβαίνῃ, τὸν
where indeed — of-one ruler need happens the(-one)
ταῦτα ἀμφότερα ἔχοντα αἱρούμενον ἐπιστάτην· οὗ δ' ἂν
these both having choosing as-overseer where and —
πλειόνων, τούτων μέρος ἑκατέρων συμμειγνύντα. τὰ μὲν
of-more of-these part of-each mingling the indeed
γὰρ σωφρόνων ἀρχόντων ἤθη σφόδρα μὲν εὐλαβῆ καὶ
for of-moderate rulers characters very indeed cautious and
δίκαια καὶ σωτήρια, δριμύτητος δὲ καί τινος ἰταμότητος
just and saving of-keenness but and of-some boldness
ὀξείας καὶ πρακτικῆς ἐνδεῖται.
sharp and practical they-are-in-want

Y. SOC. δοκεῖ γοῦν δὴ καὶ τάδε.
it-seems at-any-rate indeed also these-things

b STR. τὰ δ' ἀνδρεῖά γε αὖ πρὸς μὲν τὸ δίκαιον
the(-characters) and brave at-least again toward indeed the just
καὶ εὐλαβὲς ἐκείνων ἐπιδεέστερα, τὸ δὲ ἐν ταῖς
and cautious than-those more-deficient the(-quality) and in the
πράξεσι ἰταμὸν διαφερόντως ἴσχει. πάντα δὲ καλῶς
actions bold especially they-have all and well
γίγνεσθαι τὰ περὶ τὰς πόλεις ἰδίᾳ καὶ δημοσίᾳ
to-come-about the(-things) about the cities privately and publicly
τούτοιν μὴ παραγενομένοιν ἀμφοῖν ἀδύνατον.
these-two not being-present both impossible

Y. SOC. πῶς γὰρ οὔ;
how for not

STR. τοῦτο δὴ τέλος ὑφάσματος εὐθυπλοκίᾳ συμπλακὲν c
this indeed end of-the-web by-straight-weaving intertwined
γίγνεσθαι φῶμεν πολιτικῆς πράξεως τὸ τῶν ἀνδρείων καὶ
to-come-about let-us-say of-political action the of-the brave and
σωφρόνων ἀνθρώπων ἦθος, ὁπόταν ὁμονοίᾳ καὶ φιλίᾳ
moderate men character whenever with-concord and friendship
κοινὸν συναγαγοῦσα αὐτῶν τὸν βίον ἡ βασιλικὴ τέχνη,
common having-brought-together of-them the life the kingly art
πάντων μεγαλοπρεπέστατον ὑφασμάτων καὶ ἄριστον
of-all most-magnificent of-webs and best
ἀποτελέσασα τούς τ' ἄλλους ἐν ταῖς πόλεσι πάντας
having-accomplished the both others in the cities all
δούλους καὶ ἐλευθέρους ἀμπίσχουσα, συνέχῃ τούτῳ τῷ
slaves and free(-men) enfolding it-holds-together with-this the
πλέγματι, καὶ καθ' ὅσον εὐδαίμονι προσήκει γίγνεσθαι πόλει
plaiting and as-far as for-a-happy it-befits to-become city
τούτου μηδαμῇ μηδὲν ἐλλείπουσα ἄρχῃ τε καὶ ἐπιστατῇ.
of-this in-no-way anything falling-short it-rules both and presides
Y. SOC. κάλλιστα αὖ τὸν βασιλικὸν ἀπετέλεσας ἄνδρα
most-finely again the kingly you-have-completed man
ἡμῖν, ὦ ξένε, καὶ τὸν πολιτικόν.
for-us O stranger and the statesman

PLATO

ΦΙΛΗΒΟΣ

Philebus

Philebus holds that enjoyment and pleasure are the good for all living things; Socrates, that prudence, understanding, memory, and right opinion are better. They agree that each will name the state of soul that makes life happy, and that if a third proves better than both, whichever is nearer it beats the other. Philebus hands the argument to Protarchus, calling Aphrodite to witness. Socrates, fearing the gods' names, says pleasure is varied, felt by the intemperate and the moderate, the fool and the wise. Protarchus replies that pleasures from opposite sources are not opposite.

SOC. ὅρα δή, Πρώταρχε, τίνα λόγον μέλλεις παρὰ 11
see indeed Protarchus what account you-are-about from
Φιλήβου δέχεσθαι νυνὶ καὶ πρὸς τίνα τὸν παρ' ἡμῖν
Philebus to-receive now and against what the(-one) from us
ἀμφισβητεῖν, ἐὰν μή σοι κατὰ νοῦν ᾖ λεγόμενος.
to-dispute if not to-you according-to mind it-be said
βούλει συγκεφαλαιωσώμεθα ἑκάτερον;
do-you-wish let-us-sum-up each
PROT. πάνυ μὲν οὖν.
certainly indeed then
SOC. Φίληβος μὲν τοίνυν ἀγαθὸν εἶναί φησι τὸ χαίρειν c
Philebus indeed then good to-be says the to-rejoice
πᾶσι ζῴοις καὶ τὴν ἡδονὴν καὶ τέρψιν, καὶ ὅσα
for-all animals and the pleasure and delight and as-many-as
τοῦ γένους ἐστὶ τούτου σύμφωνα· τὸ δὲ παρ' ἡμῶν
of-the kind are this concordant the(-thing) and from us
ἀμφισβήτημά ἐστι μὴ ταῦτα, ἀλλὰ τὸ φρονεῖν καὶ τὸ
dispute is not these-things but the to-be-prudent and the
νοεῖν καὶ μεμνῆσθαι καὶ τὰ τούτων αὖ συγγενῆ,
to-understand and to-remember and the of-these again akin
δόξαν τε ὀρθὴν καὶ ἀληθεῖς λογισμούς, τῆς γε ἡδονῆς
opinion both right and true reasonings than-the at-least pleasure

ἀμείνω καὶ λῴω γίγνεσθαι σύμπασιν ὅσαπερ αὐτῶν
better and preferable to-become for-all as-many-as of-them
δυνατὰ μεταλαβεῖν· δυνατοῖς δὲ μετασχεῖν ὠφελιμώτατον
able to-take-a-share able and to-partake most-beneficial
ἁπάντων εἶναι πᾶσι τοῖς οὖσί τε καὶ ἐσομένοις. μῶν οὐχ
of-all to-be for-all the being both and going-to-be surely not
οὕτω πως λέγομεν, ὦ Φίληβε, ἑκάτεροι;
so somehow we-say O Philebus each

PHIL. πάντων μὲν οὖν μάλιστα, ὦ Σώκρατες.
of-all indeed then most O Socrates

SOC. δέχῃ δὴ τοῦτον τὸν νῦν διδόμενον, ὦ Πρώταρχε,
do-you-accept indeed this the now being-given O Protarchus
λόγον;
account

PROT. ἀνάγκη δέχεσθαι· Φίληβος γὰρ ἡμῖν ὁ καλὸς
necessity to-accept Philebus for for-us the fine
ἀπείρηκεν.
has-given-up

SOC. δεῖ δὴ περὶ αὐτῶν τρόπῳ παντὶ τἀληθές πῃ
it-is-needful indeed about them in-way every the-truth somehow
περανθῆναι;
to-be-brought-to-an-end

d PROT. δεῖ γὰρ οὖν.
it-is-needful for indeed

SOC. ἴθι δή, πρὸς τούτοις διομολογησώμεθα καὶ τόδε.
come indeed besides these let-us-agree also this

PROT. τὸ ποῖον;
the what-sort

SOC. ὡς νῦν ἡμῶν ἑκάτερος ἕξιν ψυχῆς καὶ διάθεσιν
that now of-us each a-state of-soul and condition
ἀποφαίνειν τινὰ ἐπιχειρήσει τὴν δυναμένην ἀνθρώποις
to-declare some will-attempt the(-one) able for-men
πᾶσι τὸν βίον εὐδαίμονα παρέχειν. ἆρ' οὐχ οὕτως;
all the life happy to-furnish so not so

PROT. οὕτω μὲν οὖν.
so indeed then

SOC. οὐκοῦν ὑμεῖς μὲν τὴν τοῦ χαίρειν, ἡμεῖς δ' αὖ
therefore you indeed the(-state) of-the to-rejoice we and again
τὴν τοῦ φρονεῖν;
the(-one) of-the to-be-prudent

PROT. ἔστι ταῦτα.
it-is these-things

SOC. τί δ' ἂν ἄλλη τις κρείττων τούτων φανῇ; μῶν 12
what and if other some stronger than-these appears surely
οὐκ, ἂν μὲν ἡδονῇ μᾶλλον φαίνηται συγγενής, ἡττώμεθα
not if indeed to-pleasure more it-appears akin we-are-defeated
μὲν ἀμφότεροι τοῦ ταῦτα ἔχοντος βεβαίως βίου, κρατεῖ
indeed both by-the these-things having firmly life prevails
δὲ ὁ τῆς ἡδονῆς τὸν τῆς φρονήσεως;
and the(-one) of-the pleasure the(-one) of-the prudence

PROT. ναί.
yes

SOC. ἂν δέ γε φρονήσει, νικᾷ μὲν φρόνησις τὴν ἡδονήν,
if and at-least to-prudence wins indeed prudence the pleasure
ἡ δὲ ἡττᾶται; ταῦθ' οὕτως ὁμολογούμενά φατε, ἢ
the(-one) and is-defeated these so agreed do-you-say or
πῶς;
how

PROT. ἐμοὶ γοῦν δοκεῖ.
to-me at-any-rate it-seems

SOC. τί δὲ Φιλήβῳ; τί φῄς;
what and to-Philebus what do-you-say

PHIL. ἐμοὶ μὲν πάντως νικᾶν ἡδονὴ δοκεῖ καὶ δόξει· σὺ
to-me indeed wholly to-win pleasure seems and will-seem you

δέ, Πρώταρχε, αὐτὸς γνώσῃ.
and Protarchus yourself will-know

PROT. παραδούς, ὦ Φίληβε, ἡμῖν τὸν λόγον οὐκ ἂν ἔτι
having-handed-over O Philebus to-us the argument not — still

κύριος εἴης τῆς πρὸς Σωκράτη ὁμολογίας ἢ καὶ
master you-would-be of-the with Socrates agreement or even

τοὐναντίον.
the-opposite

b PHIL. ἀληθῆ λέγεις· ἀλλὰ γὰρ ἀφοσιοῦμαι καὶ μαρτύρομαι
true-things you-say but for I-acquit-myself and I-call-to-witness

νῦν αὐτὴν τὴν θεόν.
now herself the goddess

PROT. καὶ ἡμεῖς σοι τούτων γε αὐτῶν συμμάρτυρες ἂν
and we to-you of-these at-least themselves fellow-witnesses —

εἶμεν, ὡς ταῦτα ἔλεγες ἃ λέγεις. ἀλλὰ δὴ τὰ
would-be that these-things you-were-saying which you-say but indeed the(-things)

μετὰ ταῦτα ἑξῆς, ὦ Σώκρατες, ὅμως καὶ μετὰ Φιλήβου
after these in-order O Socrates nevertheless also with Philebus

ἑκόντος ἢ ὅπως ἂν ἐθέλῃ πειρώμεθα περαίνειν.
willing or however — he-may-wish let-us-try to-bring-to-an-end

SOC. πειρατέον, ἀπ᾽ αὐτῆς δὴ τῆς θεοῦ, ἥν ὅδε
it-must-be-tried from herself indeed the goddess who this(-man)

Ἀφροδίτην μὲν λέγεσθαί φησι, τὸ δ᾽ ἀληθέστατον
Aphrodite indeed to-be-called says the(-thing) and truest

αὐτῆς ὄνομα ἡδονὴν εἶναι.
of-her name pleasure to-be

PROT. ὀρθότατα.
most-rightly

SOC. τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, ἀεὶ πρὸς τὰ τῶν c
the and my fear O Protarchus always toward the of-the
θεῶν ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ
gods names not is according-to man but beyond the
μεγίστου φόβου. καὶ νῦν τὴν μὲν Ἀφροδίτην, ὅπῃ ἐκείνῃ
greatest fear and now the indeed Aphrodite however to-her
φίλον, ταύτῃ προσαγορεύω· τὴν δὲ ἡδονὴν οἶδα ὡς ἔστι
dear in-that-way I-address the and pleasure I-know that it-is
ποικίλον, καὶ ὅπερ εἶπον, ἀπ' ἐκείνης ἡμᾶς ἀρχομένους
varied and which-very I-said from that us beginning
ἐνθυμεῖσθαι δεῖ καὶ σκοπεῖν ἥντινα φύσιν ἔχει. ἔστι γάρ,
to-consider one-must and to-examine what nature it-has it-is for
ἀκούειν μὲν οὕτως ἁπλῶς, ἕν τι, μορφὰς δὲ δήπου
to-hear indeed so simply one something forms and surely
παντοίας εἴληφε καί τινα τρόπον ἀνομοίους ἀλλήλαις. ἰδὲ
of-all-sorts it-has-taken and in-some way unlike to-one-another see
γάρ· ἥδεσθαι μέν φαμεν τὸν ἀκολασταίνοντα ἄνθρωπον,
for to-feel-pleasure indeed we-say the intemperate man
ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα αὐτῷ τῷ σωφρονεῖν·
to-feel-pleasure and also the being-moderate by-the-very the to-be-moderate
ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα καὶ ἀνοήτων δοξῶν
to-feel-pleasure and again also the senseless and with-senseless opinions
καὶ ἐλπίδων μεστόν, ἥδεσθαι δ' αὖ τὸν φρονοῦντα αὐτῷ
and hopes full to-feel-pleasure and again the being-prudent by-the-very
τῷ φρονεῖν· καὶ τούτων τῶν ἡδονῶν ἑκατέρας πῶς ἄν τις
the to-be-prudent and of-these the pleasures each how — one
ὁμοίας ἀλλήλαις εἶναι λέγων οὐκ ἀνόητος φαίνοιτο ἐνδίκως;
like to-one-another to-be saying not senseless would-appear justly
PROT. εἰσὶ μὲν γὰρ ἀπ' ἐναντίων, ὦ Σώκρατες, αὗται e
they-are indeed for from opposite O Socrates these
πραγμάτων, οὐ μὴν αὐταί γε ἀλλήλαις ἐναντίαι. πῶς
things not indeed themselves at-least to-one-another opposite how

γὰρ ἡδονῇ γε ἡδονὴ οὐχ ὁμοιότατον ἂν εἴη, τοῦτο
for to-pleasure at-least pleasure not most-like — would-be this
αὐτὸ ἑαυτῷ, πάντων χρημάτων;
itself to-itself of-all things

II · MANY PLEASURES, MANY KNOWLEDGES

Colors differ, and so do figures, though each is one in kind; pleasures too may be opposed. Protarchus will not grant that some pleasures are bad. Socrates allows that the knowledges also are many and unlike, so both must be tested as many, and the aim is the truth, not victory. He then raises the puzzle of one and many. Protarchus offers himself as one and many, and Socrates adds a body one and many in its limbs, but these puzzles are long agreed to be childish. Protarchus asks which are not.

13 soc. καὶ γὰρ χρῶμα, ὦ δαιμόνιε, χρώματι· κατά γε
and for color O marvelous(-man) from-color according-to at-least
αὐτὸ τοῦτο οὐδὲν διοίσει τὸ χρῶμα εἶναι πᾶν, τό γε
itself this in-nothing will-differ the color to-be all the at-least
μὴν μέλαν τῷ λευκῷ πάντες γιγνώσκομεν ὡς πρὸς τῷ
indeed black from-the white all we-know that besides the
διάφορον εἶναι καὶ ἐναντιώτατον ὂν τυγχάνει. καὶ δὴ καὶ
different to-be also most-opposite being it-happens and indeed also
σχῆμα σχήματι κατὰ ταὐτόν· γένει μέν ἐστι πᾶν ἕν, τὰ δὲ
figure from-figure according-to the-same in-kind indeed is all one the and
μέρη τοῖς μέρεσιν αὐτοῦ τὰ μὲν ἐναντιώτατα ἀλλήλοις,
parts from-the parts of-it the(-ones) indeed most-opposite to-one-another
τὰ δὲ διαφορότητ᾽ ἔχοντα μυρίαν που τυγχάνει, καὶ
the(-ones) and difference having ten-thousand-fold surely happen and
πολλὰ ἕτερα οὕτως ἔχονθ᾽ εὑρήσομεν. ὥστε τούτῳ γε τῷ
many others so holding we-shall-find so-that this at-least the

λόγῳ μὴ πίστευε, τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι.
argument not trust the(-one) all the most-opposite one making
φοβοῦμαι δὲ μή τινας ἡδονὰς ἡδοναῖς εὑρήσομεν ἐναντίας.
I-fear and lest some pleasures to-pleasures we-shall-find opposite
PROT. ἴσως· ἀλλὰ τί τοῦθ' ἡμῶν βλάψει τὸν λόγον;
perhaps but what this our will-it-harm the argument
SOC. ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσομεν, b
that you-call them unlike being by-another we-shall-say
ὀνόματι· λέγεις γὰρ ἀγαθὰ πάντ' εἶναι τὰ ἡδέα. τὸ
name you-say for good all to-be the pleasant-things the
μὲν οὖν μὴ οὐχὶ ἡδέα εἶναι τὰ ἡδέα λόγος οὐδεὶς
indeed then — — pleasant to-be the pleasant-things argument no
ἀμφισβητεῖ· κακὰ δ' ὄντα αὐτῶν τὰ πολλὰ καὶ ἀγαθὰ δέ, ὡς
disputes bad and being of-them the many and good and as
ἡμεῖς φαμέν, ὅμως πάντα σὺ προσαγορεύεις ἀγαθὰ αὐτά,
we say nevertheless all you call good them
ὁμολογῶν ἀνόμοια εἶναι, τῷ λόγῳ εἴ τίς σε προσαναγκάζοι.
agreeing unlike to-be in-the argument if one you should-compel
τί οὖν δὴ ταὐτὸν ἐν ταῖς κακαῖς ὁμοίως καὶ ἐν
what then indeed the-same in the bad alike and in
ἀγαθαῖς ἐνὸν πάσας ἡδονὰς ἀγαθὸν εἶναι προσαγορεύεις;
good being-in all pleasures good to-be do-you-call(-them)
PROT. πῶς λέγεις, ὦ Σώκρατες; οἴει γάρ τινα c
how do-you-mean O Socrates do-you-think for any(-one)
συγχωρήσεσθαι, θέμενον ἡδονὴν εἶναι τἀγαθόν, εἶτα
will-agree having-set pleasure to-be the-good then
ἀνέξεσθαί σου λέγοντος τὰς μὲν εἶναί τινας ἀγαθὰς
will-bear you saying the(-ones) indeed to-be some good
ἡδονάς, τὰς δέ τινας ἑτέρας αὐτῶν κακάς;
pleasures the(-others) and some other of-them bad

SOC. ἀλλ᾽ οὖν ἀνομοίους γε φήσεις αὐτὰς ἀλλήλαις
but then unlike at-least you-will-say them to-one-another
εἶναι καί τινας ἐναντίας.
to-be and some opposite
PROT. οὔτι καθ᾽ ὅσον γε ἡδοναί.
not-at-all in so-far-as at-least (they-are)-pleasures
d SOC. πάλιν εἰς τὸν αὐτὸν φερόμεθα λόγον, ὦ Πρώταρχε,
back into the same we-are-carried argument O Protarchus
οὐδ᾽ ἄρα ἡδονὴν ἡδονῆς διάφορον, ἀλλὰ πάσας ὁμοίας
not-even then pleasure from-pleasure different but all alike
εἶναι φήσομεν, καὶ τὰ παραδείγματα ἡμᾶς τὰ νυνδὴ
to-be we-shall-say and the examples us the just-now
λεχθέντα οὐδὲν τιτρώσκει, πεισόμεθα δὲ καὶ ἐροῦμεν ἅπερ
said in-nothing wounds we-shall-suffer and also we-shall-say what-very
οἱ πάντων φαυλότατοί τε καὶ περὶ λόγους ἅμα νέοι.
the of-all most-worthless both and about arguments at-the-same-time young
PROT. τὰ ποῖα δὴ λέγεις;
the what-sort indeed do-you-mean
SOC. ὅτι σε μιμούμενος ἐγὼ καὶ ἀμυνόμενος ἐὰν τολμῶ
that you imitating I and defending-myself if I-dare
λέγειν ὡς τὸ ἀνομοιότατόν ἐστι τῷ ἀνομοιοτάτῳ πάντων
to-say that the most-unlike is to-the most-unlike of-all
ὁμοιότατον, ἕξω τὰ αὐτὰ σοὶ λέγειν, καὶ φανούμεθά
most-like I-shall-have the same-things as-you to-say and we-shall-appear
γε νεώτεροι τοῦ δέοντος, καὶ ὁ λόγος ἡμῖν ἐκπεσὼν
at-least younger than-the needful and the argument for-us having-fallen-out
οἰχήσεται. πάλιν οὖν αὐτὸν ἀνακρουώμεθα, καὶ τάχ᾽
will-be-gone back then it let-us-back-water and perhaps
ἂν ἰόντες εἰς τὰς ὁμοίας ἴσως ἄν πως ἀλλήλοις
— going toward the like(-ones) perhaps — somehow with-one-another
συγχωρήσαιμεν.
we-may-agree

PROT. λέγε πῶς; e
say how

SOC. ἐμὲ θὲς ὑπὸ σοῦ πάλιν ἐρωτώμενον, ὦ Πρώταρχε.
me set by you again being-questioned O Protarchus

PROT. τὸ ποῖον δή;
the what-sort indeed

SOC. φρόνησίς τε καὶ ἐπιστήμη καὶ νοῦς καὶ πάνθ' ὁπόσα
prudence both and knowledge and mind and all as-many-as
δὴ κατ' ἀρχὰς ἐγὼ θέμενος εἶπον ἀγαθά, διερωτώμενος
indeed at beginnings I having-set said good-things being-asked
ὅτι ποτ' ἐστὶν ἀγαθόν, ἆρ' οὐ ταὐτὸν πείσονται τοῦτο
what ever is good so not the-same will-they-suffer this
ὅπερ ὁ σὸς λόγος;
which-very the your argument

PROT. πῶς;
how

SOC. πολλαί τε αἱ συνάπασαι ἐπιστῆμαι δόξουσιν εἶναι καὶ 14
many both the all-together knowledges will-seem to-be and
ἀνόμοιοί τινες αὐτῶν ἀλλήλαις· εἰ δὲ καὶ ἐναντίαι πῃ
unlike some of-them to-one-another if and even opposite somehow
γίγνονταί τινες, ἆρα ἄξιος ἂν εἴην τοῦ διαλέγεσθαι
become some then worthy — would-I-be of-the to-converse
νῦν, εἰ φοβηθεὶς τοῦτο αὐτὸ μηδεμίαν ἀνόμοιον φαίην
now if having-feared this itself none unlike I-should-say
ἐπιστήμην ἐπιστήμῃ γίγνεσθαι, κἄπειθ' ἡμῖν οὕτως ὁ
knowledge from-knowledge to-become and-then for-us so the
λόγος ὥσπερ μῦθος ἀπολόμενος οἴχοιτο, αὐτοὶ δὲ
argument like a-tale having-perished would-be-gone ourselves and
σῳζοίμεθα ἐπί τινος ἀλογίας;
would-be-saved on some unreason

PROT. ἀλλ᾽ οὐ μὴν δεῖ τοῦτο γενέσθαι, πλὴν τοῦ σωθῆναι.
but not indeed it-must this to-come-about except the to-be-saved
τό γε μήν μοι ἴσον τοῦ σοῦ τε καὶ ἐμοῦ λόγου
the at-least indeed to-me equal of-the your both and my argument
ἀρέσκει· πολλαὶ μὲν ἡδοναὶ καὶ ἀνόμοιοι γιγνέσθων,
pleases many indeed pleasures and unlike let-them-become
πολλαὶ δὲ ἐπιστῆμαι καὶ διάφοροι.
many and knowledges and different

b SOC. τὴν τοίνυν διαφορότητα, ὦ Πρώταρχε, τοῦ τ᾽ ἐμοῦ
the then difference O Protarchus of-the both my(-good)
καὶ τοῦ σοῦ μὴ ἀποκρυπτόμενοι, κατατιθέντες δὲ
and of-the your(-good) not concealing laying-down and
εἰς τὸ μέσον, τολμῶμεν, ἄν πῃ ἐλεγχόμενοι μηνύσωσι
into the middle let-us-dare if somehow being-tested they-may-reveal
πότερον ἡδονὴν τἀγαθὸν δεῖ λέγειν ἢ φρόνησιν ἤ
whether pleasure the-good one-must to-call or prudence or
τι τρίτον ἄλλο εἶναι. νῦν γὰρ οὐ δήπου πρός γε
some third other to-be now for not surely for at-least
αὐτὸ τοῦτο φιλονικοῦμεν, ὅπως ἁγὼ τίθεμαι, ταῦτ᾽ ἔσται
itself this we-are-contending how what-I set these will-be
τὰ νικῶντα, ἢ ταῦθ᾽ ἃ σύ, τῷ δ᾽ ἀληθεστάτῳ
the(-things) winning or these which you to-the and truest
δεῖ που συμμαχεῖν ἡμᾶς ἄμφω.
one-must surely to-fight-on-the-side-of us both
PROT. δεῖ γὰρ οὖν.
it-is-needful for indeed

c SOC. τοῦτον τοίνυν τὸν λόγον ἔτι μᾶλλον δι᾽ ὁμολογίας
this then the argument still more through agreement
βεβαιωσώμεθα.
let-us-confirm
PROT. τὸν ποῖον δή;
the what-sort indeed

SOC. τὸν πᾶσι παρέχοντα ἀνθρώποις πράγματα ἑκοῦσί
the(-one) to-all furnishing men troubles willing
τε καὶ ἄκουσιν ἐνίοις καὶ ἐνίοτε.
both and unwilling to-some and sometimes
PROT. λέγε σαφέστερον.
say more-clearly
SOC. τὸν νυνδὴ παραπεσόντα λέγω, φύσει πως
the(-one) just-now having-fallen-in-our-way I-mean by-nature somehow
πεφυκότα θαυμαστόν. ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι καὶ τὸ
being-grown wondrous one for indeed the many to-be and the
ἓν πολλὰ θαυμαστὸν λεχθέν, καὶ ῥᾴδιον ἀμφισβητῆσαι
one many wondrous having-been-said and easy to-dispute
τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ.
with-the(-one) of-these either-one setting(-down)
PROT. ἆρ᾽ οὖν λέγεις ὅταν τις ἐμὲ φῇ Πρώταρχον d
so then do-you-mean whenever one me says Protarchus
ἕνα γεγονότα φύσει πολλοὺς εἶναι πάλιν τοὺς ἐμὲ καὶ
one having-become by-nature many to-be again the me and
ἐναντίους ἀλλήλοις, μέγαν καὶ σμικρὸν τιθέμενος καὶ
opposite to-one-another great and small setting(-me) and
βαρὺν καὶ κοῦφον τὸν αὐτὸν καὶ ἄλλα μυρία;
heavy and light the same and other ten-thousand(-things)
SOC. σὺ μέν, ὦ Πρώταρχε, εἴρηκας τὰ δεδημευμένα τῶν e
you indeed O Protarchus have-mentioned the public of-the
θαυμαστῶν περὶ τὸ ἓν καὶ πολλά, συγκεχωρημένα δὲ ὡς
wonders about the one and many agreed and so
ἔπος εἰπεῖν ὑπὸ πάντων ἤδη μὴ δεῖν τῶν τοιούτων
a-word to-say by all already not to-be-necessary the such
ἅπτεσθαι, παιδαριώδη καὶ ῥᾴδια καὶ σφόδρα τοῖς λόγοις
to-touch childish and easy and very to-the arguments
ἐμπόδια ὑπολαμβανόντων γίγνεσθαι, ἐπεὶ μηδὲ τὰ τοιάδε,
hindrances supposing(-them) to-become since not-even the such

ὅταν τις ἑκάστου τὰ μέλη τε καὶ ἅμα μέρη διελὼν
whenever one of-each the limbs both and at-the-same-time parts having-divided
τῷ λόγῳ, πάντα ταῦτα τὸ ἓν ἐκεῖνο εἶναι διομολογησάμενος,
in-the argument all these the one that to-be having-agreed
ἐλέγχῃ καταγελῶν ὅτι τέρατα διηνάγκασται φάναι, τό τε
he-refutes laughing that monstrosities he-has-been-forced to-say the both
ἓν ὡς πολλά ἐστι καὶ ἄπειρα, καὶ τὰ πολλὰ ὡς ἓν μόνον.
one that many is and unlimited and the many that one only
PROT. σὺ δὲ δὴ ποῖα, ὦ Σώκρατες, ἕτερα λέγεις, ἃ
you and indeed what-sort O Socrates other do-you-mean which
μήπω συγκεχωρημένα δεδήμευται περὶ τὸν αὐτὸν τοῦτον
not-yet agreed have-become-public about the same this
λόγον;
argument

III · THE GODS' GIFT

The real puzzle concerns units like man, ox, the beautiful, and the good: do they truly exist, how is each one, and how is it in many things? The young delight in the puzzle and spare no one. Protarchus asks for a better road, and Socrates tells of a gift the gods flung down through some Prometheus: all things are of one and many, with limit and unlimitedness in them, and one must seek one form, then two or three, before letting go into the unlimited.

15 SOC. ὁπόταν, ὦ παῖ, τὸ ἓν μὴ τῶν γιγνομένων τε καὶ
whenever O boy the one not of-the(-things) coming-to-be both and
ἀπολλυμένων τις τιθῆται, καθάπερ ἀρτίως ἡμεῖς εἴπομεν.
perishing one sets as just-now we said
ἐνταυθοῖ μὲν γὰρ καὶ τὸ τοιοῦτον ἕν, ὅπερ εἴπομεν νυνδή,
here indeed for also the such one which-very we-said just-now
συγκεχώρηται τὸ μὴ δεῖν ἐλέγχειν· ὅταν δέ τις ἕνα
it-has-been-agreed the not to-be-necessary to-refute whenever and one one

ἄνθρωπον ἐπιχειρῇ τίθεσθαι καὶ βοῦν ἕνα καὶ τὸ καλὸν ἓν
man attempts to-set and ox one and the fine one
καὶ τὸ ἀγαθὸν ἕν, περὶ τούτων τῶν ἑνάδων καὶ τῶν τοιούτων
and the good one about these the unities and the such
ἡ πολλὴ σπουδὴ μετὰ διαιρέσεως ἀμφισβήτησις γίγνεται.
the much seriousness with division dispute becomes

PROT. πῶς;
how

SOC. πρῶτον μὲν εἴ τινας δεῖ τοιαύτας εἶναι μονάδας b
first indeed whether some one-must such to-be monads
ὑπολαμβάνειν ἀληθῶς οὔσας· εἶτα πῶς αὖ ταύτας, μίαν
to-suppose truly being then how again these one
ἑκάστην οὖσαν ἀεὶ τὴν αὐτὴν καὶ μήτε γένεσιν μήτε ὄλεθρον
each being always the same and neither generation nor destruction
προσδεχομένην, ὅμως εἶναι βεβαιότατα μίαν ταύτην; μετὰ
admitting nevertheless to-be most-firmly one this after
δὲ τοῦτ' ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις εἴτε
and this in the(-things) coming-to-be again and unlimited whether
διεσπασμένην καὶ πολλὰ γεγονυῖαν θετέον, εἴθ' ὅλην αὐτὴν
torn-apart and many having-become must-be-set or whole itself
αὑτῆς χωρίς, ὃ δὴ πάντων ἀδυνατώτατον φαίνοιτ'
from-itself apart which indeed of-all most-impossible would-appear
ἄν, ταὐτὸν καὶ ἓν ἅμα ἐν ἑνί τε καὶ πολλοῖς
— *the-same and one at-the-same-time in one both and many*
γίγνεσθαι. ταῦτ' ἔστι τὰ περὶ τὰ τοιαῦτα ἓν καὶ
to-come-about these-things are the(-difficulties) about the such one and
πολλά, ἀλλ' οὐκ ἐκεῖνα, ὦ Πρώταρχε, ἁπάσης ἀπορίας
many but not those O Protarchus of-all perplexity
αἴτια μὴ καλῶς ὁμολογηθέντα καὶ εὐπορίας αὖ καλῶς.
causes not well agreed and of-resource again well

PROT. οὐκοῦν χρὴ τοῦθ' ἡμᾶς, ὦ Σώκρατες, ἐν τῷ νῦν
therefore must this us O Socrates in the now
πρῶτον διαπονήσασθαι;
first to-work-through

SOC. ὡς γοῦν ἐγὼ φαίην ἄν.
as at-any-rate I would-say —

PROT. καὶ πάντας τοίνυν ἡμᾶς ὑπόλαβε συγχωρεῖν σοι
and all then us suppose to-agree with-you
τούσδε τὰ τοιαῦτα· Φίληβον δ' ἴσως κράτιστον ἐν τῷ
these(-here) the such-things Philebus but perhaps best in the
νῦν ἐπερωτῶντα μὴ κινεῖν εὖ κείμενον.
now questioning not to-disturb well lying

d SOC. εἶεν· πόθεν οὖν τις ταύτης ἄρξηται πολλῆς οὔσης καὶ
well whence then one this should-begin much being and
παντοίας περὶ τὰ ἀμφισβητούμενα μάχης; ἆρ' ἐνθένδε;
of-all-sorts about the(-things) disputed battle so from-here

PROT. πόθεν;
whence

16 SOC. φαμέν που ταὐτὸν ἓν καὶ πολλὰ ὑπὸ λόγων γιγνόμενα
we-say surely the-same one and many by speeches becoming
περιτρέχειν πάντῃ καθ' ἕκαστον τῶν λεγομένων
to-run-around everywhere according-to each of-the(-things) said
ἀεί, καὶ πάλαι καὶ νῦν. καὶ τοῦτο οὔτε μὴ παύσηταί ποτε
always both long-ago and now and this neither — will-cease ever
οὔτε ἤρξατο νῦν, ἀλλ' ἔστι τὸ τοιοῦτον, ὡς ἐμοὶ φαίνεται,
nor began now but is the such as to-me it-appears
τῶν λόγων αὐτῶν ἀθάνατόν τι καὶ ἀγήρων πάθος ἐν ἡμῖν·
of-the speeches themselves deathless some and ageless experience in us
ὁ δὲ πρῶτον αὐτοῦ γευσάμενος ἑκάστοτε τῶν νέων,
the(-one) and first of-it having-tasted each-time of-the young
ἡσθεὶς ὡς τινα σοφίας ηὑρηκὼς θησαυρόν, ὑφ' ἡδονῆς
having-been-pleased as some of-wisdom having-found treasure by pleasure

ἐνθουσιᾷ τε καὶ πάντα κινεῖ λόγον ἄσμενος, τοτὲ μὲν
is-inspired both and every moves argument gladly at-one-time indeed
ἐπὶ θάτερα κυκλῶν καὶ συμφύρων εἰς ἕν, τοτὲ δὲ
to the-one-side rolling and kneading into one at-another-time and
πάλιν ἀνειλίττων καὶ διαμερίζων, εἰς ἀπορίαν αὑτὸν μὲν
again unrolling and dividing into perplexity himself indeed
πρῶτον καὶ μάλιστα καταβάλλων, δεύτερον δ' ἀεὶ τὸν
first and most throwing second and always the
ἐχόμενον, ἄντε νεώτερος ἄντε πρεσβύτερος ἄντε ἥλιξ
next whether younger or older or of-the-same-age
ὢν τυγχάνῃ, φειδόμενος οὔτε πατρὸς οὔτε μητρὸς οὔτε
being he-happens sparing neither father nor mother nor
ἄλλου τῶν ἀκουόντων οὐδενός, ὀλίγου δὲ καὶ τῶν ἄλλων
other of-the hearers anyone almost and also of-the other
ζῴων, οὐ μόνον τῶν ἀνθρώπων, ἐπεὶ βαρβάρων γε
animals not only of-the men since barbarians at-least
οὐδενὸς ἂν φείσαιτο, εἴπερ μόνον ἑρμηνέα ποθὲν ἔχοι.
none — he-would-spare if-indeed only an-interpreter from-somewhere he-had
PROT. ἆρ', ὦ Σώκρατες, οὐχ ὁρᾷς ἡμῶν τὸ πλῆθος, ὅτι b
so O Socrates not do-you-see our the multitude that
νέοι πάντες ἐσμέν, καὶ οὐ φοβῇ μή σοι μετὰ Φιλήβου
young all we-are and not do-you-fear lest you with Philebus
συνεπιθώμεθα, ἐὰν ἡμᾶς λοιδορῇς; ὅμως δὲ μανθάνομεν
we-join-in-attacking if us you-abuse nevertheless but we-understand
γὰρ ὃ λέγεις, εἴ τις τρόπος ἔστι καὶ μηχανὴ τὴν μὲν
for what you-say if some way there-is and contrivance the indeed
τοιαύτην ταραχὴν ἡμῖν ἔξω τοῦ λόγου εὐμενῶς πως
such confusion for-us out-of the argument kindly somehow
ἀπελθεῖν, ὁδὸν δέ τινα καλλίω ταύτης ἐπὶ τὸν λόγον
to-go-away road and some finer than-this toward the argument

ἀνευρεῖν, σύ τε προθυμοῦ τοῦτο καὶ ἡμεῖς συνακολουθήσομεν
to-find-out you both be-eager-for this and we will-follow-along
εἰς δύναμιν· οὐ γὰρ σμικρὸς ὁ παρὼν λόγος, ὦ Σώκρατες.
to power not for small the present argument O Socrates
SOC. οὐ γὰρ οὖν, ὦ παῖδες, ὡς φησιν ὑμᾶς προσαγορεύων
not for indeed O boys as says you addressing
Φίληβος. οὐ μὴν ἔστι καλλίων ὁδὸς οὐδ' ἂν γένοιτο
Philebus not indeed there-is finer road nor — would-there-become
ἧς ἐγὼ ἐραστὴς μέν εἰμι ἀεί, πολλάκις δέ με ἤδη
of-which I lover indeed am always often and me already
διαφυγοῦσα ἔρημον καὶ ἄπορον κατέστησεν.
having-fled-from deserted and resourceless it-set
PROT. τίς αὕτη; λεγέσθω μόνον.
which this let-it-be-told only
c SOC. ἣν δηλῶσαι μὲν οὐ πάνυ χαλεπόν, χρῆσθαι δὲ
which to-show indeed not very hard to-use and
παγχάλεπον· πάντα γὰρ ὅσα τέχνης ἐχόμενα ἀνηυρέθη
very-hard all for as-many-as of-art holding were-discovered
πώποτε διὰ ταύτης φανερὰ γέγονε. σκόπει δὲ ἣν λέγω.
ever through this plain have-become look and which I-mean
PROT. λέγε μόνον.
speak only
d SOC. θεῶν μὲν εἰς ἀνθρώπους δόσις, ὡς γε καταφαίνεται
of-gods indeed to men gift as at-least appears-plainly
ἐμοί, ποθὲν ἐκ θεῶν ἐρρίφη διά τινος Προμηθέως
to-me from-somewhere from gods was-flung through some Prometheus
ἅμα φανοτάτῳ τινὶ πυρί· καὶ οἱ μὲν παλαιοί,
together-with brightest some fire and the indeed ancients
κρείττονες ἡμῶν καὶ ἐγγυτέρω θεῶν οἰκοῦντες, ταύτην
stronger than-us and nearer to-gods dwelling this
φήμην παρέδοσαν, ὡς ἐξ ἑνὸς μὲν καὶ πολλῶν ὄντων
report handed-down that from one indeed and many being

τῶν ἀεὶ λεγομένων εἶναι, πέρας δὲ καὶ ἀπειρίαν ἐν
the(-things) always said to-be limit and also unlimitedness in
αὑτοῖς σύμφυτον ἐχόντων. δεῖν οὖν ἡμᾶς τούτων
themselves inborn having to-be-necessary then us these
οὕτω διακεκοσμημένων ἀεὶ μίαν ἰδέαν περὶ παντὸς
so having-been-ordered always one form about everything
ἑκάστοτε θεμένους ζητεῖν — εὑρήσειν γὰρ ἐνοῦσαν — ἐὰν
each-time setting to-seek we-will-find for (it)-being-in if
οὖν μεταλάβωμεν, μετὰ μίαν δύο, εἴ πως εἰσί, σκοπεῖν,
then we-grasp(-it) after one two if somehow there-are to-examine
εἰ δὲ μή, τρεῖς ἤ τινα ἄλλον ἀριθμόν, καὶ τῶν ἓν ἐκείνων
if but not three or some other number and of-the one those
ἕκαστον πάλιν ὡσαύτως, μέχριπερ ἂν τὸ κατ᾽ ἀρχὰς ἓν
each again likewise until — the at beginnings one
μὴ ὅτι ἓν καὶ πολλὰ καὶ ἄπειρά ἐστι μόνον ἴδῃ τις, ἀλλὰ
not that one and many and unlimited it-is only may-see one but
καὶ ὁπόσα· τὴν δὲ τοῦ ἀπείρου ἰδέαν πρὸς τὸ πλῆθος μὴ
also how-many the and of-the unlimited form for the multitude not
προσφέρειν πρὶν ἄν τις τὸν ἀριθμὸν αὐτοῦ πάντα κατίδῃ
to-apply before — one the number of-it all sees
τὸν μεταξὺ τοῦ ἀπείρου τε καὶ τοῦ ἑνός, τότε δ᾽ ἤδη τὸ
the(-one) between the unlimited both and the one then and already the
ἓν ἕκαστον τῶν πάντων εἰς τὸ ἄπειρον μεθέντα χαίρειν ἐᾶν.
one each of-the all into the unlimited letting-go to-fare-well to-let

The clever of today leap from the one to the unlimited and miss the numbers between. A voice is one and unlimited, but knowing its number and kinds makes a man lettered, and music needs its intervals, scales, and rhythms. When Philebus asks what this has to do with the argument, Socrates first gives the reverse path, from the unlimited through number to the one: Theuth in Egypt divided the vowels, the semivowels, and the mutes, named each a letter, and called their bond the art of grammar. Philebus still asks the point, and Socrates notes that pleasure and prudence are each one.

17 SOC. οἱ μὲν οὖν θεοί, ὅπερ εἶπον, οὕτως ἡμῖν παρέδοσαν
the indeed then gods which-very I-said so to-us handed-down
σκοπεῖν καὶ μανθάνειν καὶ διδάσκειν ἀλλήλους· οἱ δὲ νῦν
to-examine and to-learn and to-teach one-another the(-ones) and now
τῶν ἀνθρώπων σοφοὶ ἓν μέν, ὅπως ἂν τύχωσι, καὶ πολλὰ
of-the men wise one indeed however — they-happen and many
θᾶττον καὶ βραδύτερον ποιοῦσι τοῦ δέοντος, μετὰ δὲ
more-quickly and more-slowly make than-the needful after and
τὸ ἓν ἄπειρα εὐθύς, τὰ δὲ μέσα αὐτοὺς ἐκφεύγει —
the one unlimited-things at-once the and middle-things them escape
οἷς διακεχώρισται τό τε διαλεκτικῶς πάλιν καὶ τὸ
by-which has-been-distinguished the both dialectically again and the
ἐριστικῶς ἡμᾶς ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς λόγους.
eristically us to-make toward one-another the arguments
PROT. τὰ μέν πως, ὦ Σώκρατες, δοκῶ σου μανθάνειν,
the(-things) indeed somehow O Socrates I-seem you to-understand
τὰ δὲ ἔτι σαφέστερον δέομαι ἃ λέγεις ἀκοῦσαι.
the(-things) and still more-clearly I-need what you-say to-hear

SOC. σαφὲς μήν, ὦ Πρώταρχε, ἐστὶν ἐν τοῖς γράμμασιν b
clear indeed O Protarchus is in the letters
ὃ λέγω, καὶ λάμβαν' αὐτὸ ἐν τούτοις οἷσπερ καὶ
what I-say and take it in these in-which also
πεπαίδευσαι.
you-have-been-educated

PROT. πῶς;
how

SOC. φωνὴ μὲν ἡμῖν ἐστί που μία διὰ τοῦ στόματος
voice indeed for-us is surely one through the mouth
ἰοῦσα, καὶ ἄπειρος αὖ πλήθει, πάντων τε καὶ ἑκάστου.
going and unlimited again in-multitude of-all both and of-each

PROT. τί μήν;
what indeed

SOC. καὶ οὐδὲν ἑτέρῳ γε τούτων ἐσμέν πω σοφοί,
and in-nothing by-either at-least of-these we-are yet wise
οὔτε ὅτι τὸ ἄπειρον αὐτῆς ἴσμεν οὔθ' ὅτι τὸ ἕν· ἀλλ'
either that the unlimited of-it we-know or that the one but
ὅτι πόσα τ' ἐστὶ καὶ ὁποῖα, τοῦτό ἐστι τὸ
that how-many both is and of-what-sort this is the(-thing)
γραμματικὸν ἕκαστον ποιοῦν ἡμῶν.
lettered each making of-us

PROT. ἀληθέστατα.
most-truly

SOC. καὶ μὴν καὶ τὸ μουσικὸν ὃ τυγχάνει ποιοῦν,
and indeed also the(-thing) musical which happens making(-one)
τοῦτ' ἔστι ταὐτόν.
this is the-same

PROT. πῶς;
how

c SOC. φωνὴ μέν που καὶ τὸ κατ᾽ ἐκείνην τὴν
voice indeed surely also the(-thing) according-to that the
τέχνην ἐστὶ μία ἐν αὐτῇ.
art is one in it
PROT. πῶς δ᾽ οὔ;
how and not
SOC. δύο δὲ θῶμεν βαρὺ καὶ ὀξύ, καὶ τρίτον ὁμότονον. ἢ
two and let-us-set low and high and third same-pitched or
πῶς;
how
PROT. οὕτως.
so
SOC. ἀλλ᾽ οὔπω σοφὸς ἂν εἴης τὴν μουσικὴν εἰδὼς
but not-yet wise — you-would-be (in)-the music knowing
ταῦτα μόνα, μὴ δὲ εἰδὼς ὅς γ᾽ ἔπος εἰπεῖν εἰς ταῦτα
these only not and knowing as at-least a-word to-speak in these
οὐδενὸς ἄξιος ἔσῃ.
of-nothing worthy you-will-be
PROT. οὐ γὰρ οὖν.
not for indeed
d SOC. ἀλλ᾽, ὦ φίλε, ἐπειδὰν λάβῃς τὰ διαστήματα ὁπόσα
but O dear when you-grasp the intervals how-many
ἐστὶ τὸν ἀριθμὸν τῆς φωνῆς ὀξύτητός τε πέρι καὶ
are the number of-the voice of-highness both about and
βαρύτητος, καὶ ὁποῖα, καὶ τοὺς ὅρους τῶν διαστημάτων,
of-lowness and of-what-sort and the boundaries of-the intervals
καὶ τὰ ἐκ τούτων ὅσα συστήματα γέγονεν — ἃ
and the(-things) from these as-many-as systems have-come-about which
κατιδόντες οἱ πρόσθεν παρέδοσαν ἡμῖν τοῖς ἐπομένοις
having-observed the(-men) before handed-down to-us the followers
ἐκείνοις καλεῖν αὐτὰ ἁρμονίας, ἔν τε ταῖς κινήσεσιν αὖ
of-those to-call them harmonies in both the motions again

τοῦ σώματος ἕτερα τοιαῦτα ἐνόντα πάθη γιγνόμενα, ἃ
of-the body other such being-in experiences becoming which
δὴ δι' ἀριθμῶν μετρηθέντα δεῖν αὖ φασι ῥυθμοὺς
indeed through numbers measured one-must again they-say rhythms
καὶ μέτρα ἐπονομάζειν, καὶ ἅμα ἐννοεῖν ὡς οὕτω
and measures to-name and at-the-same-time to-consider that so
δεῖ περὶ παντὸς ἑνὸς καὶ πολλῶν σκοπεῖν — ὅταν
one-must about every one and many to-examine whenever
γὰρ αὐτά τε λάβῃς οὕτω, τότε ἐγένου σοφός, ὅταν
for them both you-grasp so then you-have-become wise whenever
τε ἄλλο τῶν ἓν ὁτιοῦν ταύτῃ σκοπούμενος ἕλῃς,
both other of-the one anything-whatever in-this-way examining you-take
οὕτως ἔμφρων περὶ τοῦτο γέγονας· τὸ δ' ἄπειρόν σε
so sensible about this you-have-become the and unlimited you
ἑκάστων καὶ ἐν ἑκάστοις πλῆθος ἄπειρον ἑκάστοτε ποιεῖ
of-each and in each multitude unlimited each-time makes
τοῦ φρονεῖν καὶ οὐκ ἐλλόγιμον οὐδ' ἐνάριθμον, ἅτ'
of-the being-prudent and not of-account nor of-number inasmuch-as
οὐκ εἰς ἀριθμὸν οὐδένα ἐν οὐδενὶ πώποτε ἀπιδόντα.
not to number any in any ever having-looked

PROT. κάλλιστα, ὦ Φίληβε, ἔμοιγε τὰ νῦν λεγόμενα
most-finely O Philebus to-me-at-least the(-things) now said
εἰρηκέναι φαίνεται Σωκράτης.
to-have-spoken appears Socrates

PHIL. κἀμοὶ ταῦτά γε αὐτά· ἀλλὰ τί δή ποτε 18
to-me-too these-things at-least themselves but why indeed ever
πρὸς ἡμᾶς ὁ λόγος οὗτος νῦν εἴρηται καὶ τί ποτε
to us the argument this now has-been-said and what ever
βουλόμενος;
wishing

SOC. ὀρθῶς μέντοι τοῦθ' ἡμᾶς, ὦ Πρώταρχε, ἠρώτηκε
rightly however this us O Protarchus has-asked
Φίληβος.
Philebus

PROT. πάνυ μὲν οὖν, καὶ ἀποκρίνου γε αὐτῷ.
certainly indeed then and answer at-least him

b SOC. δράσω ταῦτα διελθὼν σμικρὸν ἔτι περὶ αὐτῶν
I-shall-do these-things having-gone-through little still about themselves
τούτων. ὥσπερ γὰρ ἓν ὁτιοῦν εἴ τίς ποτε λάβοι,
these as for one anything-whatever if one ever should-grasp
τοῦτον, ὥς φαμεν, οὐκ ἐπ' ἀπείρου φύσιν δεῖ βλέπειν
this as we-say not on of-the-unlimited nature one-must to-look
εὐθὺς ἀλλ' ἐπί τινα ἀριθμόν, οὕτω καὶ τὸ ἐναντίον ὅταν
at-once but on some number so also the opposite whenever
τις τὸ ἄπειρον ἀναγκασθῇ πρῶτον λαμβάνειν, μὴ ἐπὶ τὸ
one the unlimited is-compelled first to-grasp not on the
ἓν εὐθύς, ἀλλ' ἀριθμὸν αὖ τινα πλῆθος ἕκαστον ἔχοντά
one at-once but number again some multitude each having
τι κατανοεῖν, τελευτᾶν τε ἐκ πάντων εἰς ἕν. πάλιν
something to-perceive to-end both from all into one again
δὲ ἐν τοῖς γράμμασι τὸ νῦν λεγόμενον λάβωμεν.
and in the letters the now said let-us-grasp

PROT. πῶς;
how

c SOC. ἐπειδὴ φωνὴν ἄπειρον κατενόησεν εἴτε τις θεὸς εἴτε
when voice unlimited perceived whether some god or
καὶ θεῖος ἄνθρωπος — ὡς λόγος ἐν Αἰγύπτῳ Θεῦθ τινα
even divine man as story in Egypt Theuth some
τοῦτον γενέσθαι λέγων, ὃς πρῶτος τὰ φωνήεντα ἐν τῷ
this to-have-been saying who first the vowels in the
ἀπείρῳ κατενόησεν οὐχ ἓν ὄντα ἀλλὰ πλείω, καὶ πάλιν
unlimited perceived not one being but more and again

ἕτερα φωνῆς μὲν οὔ, φθόγγου δὲ μετέχοντά τινος, ἀριθμὸν
others of-voice indeed not of-sound but sharing some number
δέ τινα καὶ τούτων εἶναι, τρίτον δὲ εἶδος γραμμάτων
and some also of-these to-be third and form of-letters
διεστήσατο τὰ νῦν λεγόμενα ἄφωνα ἡμῖν· τὸ μετὰ
he-distinguished the now called mutes for-us the(-thing) after
τοῦτο διᾠρει τά τε ἄφθογγα καὶ ἄφωνα μέχρι ἑνὸς
this he-divided the both soundless and mutes down-to one
ἑκάστου, καὶ τὰ φωνήεντα καὶ τὰ μέσα κατὰ τὸν
each and the vowels and the middle(-ones) according-to the
αὐτὸν τρόπον, ἕως ἀριθμὸν αὐτῶν λαβὼν ἑνί τε
same way until number of-them having-grasped to-one both
ἑκάστῳ καὶ σύμπασι στοιχεῖον ἐπωνόμασε· καθορῶν δὲ
each and to-all element he-gave-as-name seeing and
ὡς οὐδεὶς ἡμῶν οὐδ' ἂν ἓν αὐτὸ καθ' αὑτὸ ἄνευ πάντων
that no-one of-us even — one it by itself without all
αὐτῶν μάθοι, τοῦτον τὸν δεσμὸν αὖ λογισάμενος ὡς ὄντα
of-them would-learn this the bond again reckoning as being
ἕνα καὶ πάντα ταῦτα ἕν πως ποιοῦντα μίαν ἐπ' αὐτοῖς
one and all these one somehow making one over them
ὡς οὖσαν γραμματικὴν τέχνην ἐπεφθέγξατο προσειπών.
as being grammatical art he-uttered addressing(-it)

PHIL. ταῦτ' ἔτι σαφέστερον ἐκείνων αὐτά γε πρὸς
these-things still more-clearly than-those themselves at-least relative-to
ἄλληλα, ὦ Πρώταρχε, ἔμαθον· τὸ δ' αὐτό μοι τοῦ
one-another O Protarchus I-learned the and same to-me of-the
λόγου νῦν τε καὶ σμικρὸν ἔμπροσθεν ἐλλείπεται.
argument now both and a-little before is-lacking

SOC. μῶν, ὦ Φίληβε, τὸ τί πρὸς ἔπος αὖ ταῦτ' ἐστίν;
surely-not O Philebus the what to word again these is

PHIL. ναί, τοῦτ' ἔστιν ὃ πάλαι ζητοῦμεν ἐγώ τε καὶ
yes this is what long-ago we-are-seeking I both and
Πρώταρχος.
Protarchus

e SOC. ἦ μὴν ἐπ' αὐτῷ γε ἤδη γεγονότες ζητεῖτε, ὡς
truly indeed at it at-least already having-come you-seek as
φῄς, πάλαι.
you-say long-ago

PHIL. πῶς;
how

SOC. ἆρ' οὐ περὶ φρονήσεως ἦν καὶ ἡδονῆς ἡμῖν ἐξ
so not about prudence was and pleasure for-us from
ἀρχῆς ὁ λόγος, ὁπότερον αὐτοῖν αἱρετέον;
(the)-beginning the argument which-of-the-two of-them must-be-chosen

PHIL. πῶς γὰρ οὔ;
how for not

SOC. καὶ μὴν ἕν γε ἑκάτερον αὐτοῖν εἶναί φαμεν.
and indeed one at-least each of-them to-be we-say

PHIL. πάνυ μὲν οὖν.
certainly indeed then

Protarchus asks Socrates to divide the kinds of pleasure and knowledge, since he and Philebus cannot. Socrates recalls hearing that neither pleasure nor prudence is the good, but some third thing better than both; then pleasure loses the victory, and the division is not needed. The good must be complete and sufficient, sought by every knowing being. They will test each life apart from the other.

SOC. τοῦτ᾽ αὐτὸ τοίνυν ἡμᾶς ὁ πρόσθεν λόγος ἀπαιτεῖ, 19
this itself then us the earlier argument demands
πῶς ἔστιν ἓν καὶ πολλὰ αὐτῶν ἑκάτερον, καὶ πῶς μὴ
how is one and many of-them each and how not
ἄπειρα εὐθύς, ἀλλά τινά ποτε ἀριθμὸν ἑκάτερον ἔμπροσθεν
unlimited at-once but some ever number each before
κέκτηται τοῦ ἄπειρα αὐτῶν ἕκαστα γεγονέναι;
has-acquired than-the unlimited of-them each to-have-become
PROT. οὐκ εἰς φαῦλόν γε ἐρώτημα, ὦ Φίληβε, οὐκ b
not into trivial at-least a-question O Philebus not
οἶδ᾽ ὅντινα τρόπον κύκλῳ πως περιαγαγὼν ἡμᾶς
I-know in-what way in-a-circle somehow having-led-round us
ἐμβέβληκε Σωκράτης. καὶ σκόπει δὴ πότερος ἡμῶν
has-thrown Socrates and consider indeed which-of-the-two of-us
ἀποκρινεῖται τὸ νῦν ἐρωτώμενον. ἴσως δὴ γελοῖον
will-answer the(-thing) now asked perhaps indeed ridiculous
τὸ ἐμὲ τοῦ λόγου διάδοχον παντελῶς ὑποστάντα διὰ
the me of-the argument successor completely having-undertaken because-of
τὸ μὴ δύνασθαι τὸ νῦν ἐρωτηθὲν ἀποκρίνασθαι σοὶ
the not to-be-able the(-thing) now asked to-answer to-you
πάλιν τοῦτο προστάττειν· γελοιότερον δ᾽ οἶμαι πολὺ τὸ
again this to-assign more-ridiculous and I-think much the
μηδέτερον ἡμῶν δύνασθαι. σκόπει δὴ τί δράσομεν. εἴδη
neither of-us to-be-able consider indeed what we-shall-do forms

γάρ μοι δοκεῖ νῦν ἐρωτᾶν ἡδονῆς ἡμᾶς Σωκράτης εἴτε
for to-me seems now to-ask of-pleasure us Socrates whether
ἔστιν εἴτε μή, καὶ ὁπόσα ἐστὶ καὶ ὁποῖα· τῆς τ' αὖ
there-are or not and how-many are and of-what-sort of-the both again
φρονήσεως πέρι κατὰ ταὐτὰ ὡσαύτως.
prudence about according-to the-same likewise

as-many-as just-now about them we-said has-received both and has

PROT. καὶ τοῦθ' ἕτερον, ὦ Σώκρατες, οὐκ ἄξιον ἐρωτήσεως.
also this another O Socrates not worthy of-question

30 SOC. τί δέ; τόδε ἆρα ἄξιον; ἢ πῶς ἐρεῖς;
what and this then worthy or how will-you-say

PROT. λέγε τὸ ποῖον.
say the what-sort

SOC. τὸ παρ᾽ ἡμῖν σῶμα ἆρ᾽ οὐ ψυχὴν φήσομεν ἔχειν;
the among us body so not soul shall-we-say to-have
PROT. δῆλον ὅτι φήσομεν.
clear that we-shall-say(-so)
SOC. πόθεν, ὦ φίλε Πρώταρχε, λαβόν, εἴπερ μὴ τό
whence O dear Protarchus having-taken(-it) if-indeed not the
γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε, ταὐτά
at-least of-the all body ensouled being happened the-same
γε ἔχον τούτῳ καὶ ἔτι πάντῃ καλλίονα;
at-least having with-this and further in-every-way finer
PROT. δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν, ὦ Σώκρατες.
clear that from-nowhere else O Socrates
SOC. οὐ γάρ που δοκοῦμέν γε, ὦ Πρώταρχε, τὰ τέτταρα b
not for surely we-think at-least O Protarchus the four
ἐκεῖνα, πέρας καὶ ἄπειρον καὶ κοινὸν καὶ τὸ τῆς αἰτίας
those limit and unlimited and common and the of-the cause
γένος ἐν ἅπασι τέταρτον ἐνόν, τοῦτο ἐν μὲν τοῖς
kind in all fourth being-in this in indeed the(-things)
παρ᾽ ἡμῖν ψυχήν τε παρέχον καὶ σωμασκίαν ἐμποιοῦν
among us soul both furnishing and body-training instilling
καὶ πταίσαντος σώματος ἰατρικὴν καὶ ἐν ἄλλοις ἄλλα
and having-stumbled of-body medicine and in other(-things) other-things
συντιθὲν καὶ ἀκούμενον πᾶσαν καὶ παντοίαν σοφίαν
composing and healing all and manifold wisdom
ἐπικαλεῖσθαι, τῶν δ᾽ αὐτῶν τούτων ὄντων ἐν ὅλῳ τε
to-be-called of-the and same these being in whole both
οὐρανῷ καὶ κατὰ μεγάλα μέρη, καὶ προσέτι καλῶν καὶ
heaven and in great parts and besides fine and
εἰλικρινῶν, ἐν τούτοις δ᾽ οὐκ ἄρα μεμηχανῆσθαι τὴν τῶν
pure in these and not then to-have-contrived the of-the
καλλίστων καὶ τιμιωτάτων φύσιν.
finest and most-honored nature

c PROT. ἀλλ᾽ οὐδαμῶς τοῦτό γ᾽ ἂν λόγον ἔχοι.
but in-no-way this at-least — reason would-have

SOC. οὐκοῦν εἰ μὴ τοῦτο, μετ᾽ ἐκείνου τοῦ λόγου ἂν ἑπόμενοι
therefore if not this with that the argument — following
βέλτιον λέγοιμεν ὡς ἔστιν, ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν
better we-would-say that there-is what often we-have-said unlimited
τε ἐν τῷ παντὶ πολύ, καὶ πέρας ἱκανόν, καί τις ἐπ᾽ αὐτοῖς
both in the all much and limit sufficient and some over them
αἰτία οὐ φαύλη, κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε
cause not mean ordering both and arranging years both
καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατ᾽ ἄν.
and seasons and months wisdom and mind being-called most-justly —

PROT. δικαιότατα δῆτα.
most-justly indeed

SOC. σοφία μὴν καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε
wisdom indeed and mind without soul not — ever
γενοίσθην.
the-two-would-come-to-be

PROT. οὐ γὰρ οὖν.
not for indeed

d SOC. οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν
therefore in indeed the of-the Zeus you-will-say nature kingly
μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι διὰ τὴν
indeed soul kingly and mind to-come-into-being because-of the
τῆς αἰτίας δύναμιν, ἐν δ᾽ ἄλλοις ἄλλα καλά, καθ᾽
of-the cause power in and others other fine(-things) according-to
ὅτι φίλον ἑκάστοις λέγεσθαι.
what dear for-each to-be-called

PROT. μάλα γε.
very at-least

SOC. τοῦτον δὴ τὸν λόγον ἡμᾶς μή τι μάτην δόξῃς,
this indeed the argument us not at-all in-vain think
ὦ Πρώταρχε, εἰρηκέναι, ἀλλ᾽ ἔστι τοῖς μὲν πάλαι
O Protarchus to-have-spoken but it-is for-the indeed long-ago
ἀποφηναμένοις ὡς ἀεὶ τοῦ παντὸς νοῦς ἄρχει σύμμαχος
having-declared that always of-the all mind rules ally
ἐκείνοις.
to-those
PROT. ἔστι γὰρ οὖν.
it-is for indeed
SOC. τῇ δέ γε ἐμῇ ζητήσει πεπορικὼς ἀπόκρισιν, ὅτι e
to-the and at-least my inquiry having-furnished an-answer that
νοῦς ἐστὶ γένους τῆς τοῦ πάντων αἰτίου λεχθέντος.
mind is of-kind the of-the of-all cause having-been-called
ἔχεις γὰρ δήπου νῦν ἡμῶν ἤδη τὴν ἀπόκρισιν.
you-have for surely now our already the answer
PROT. ἔχω καὶ μάλα ἱκανῶς· καίτοι με ἀποκρινάμενος
I-have(-it) and very sufficiently and-yet me answering
ἔλαθες.
you-escaped
SOC. ἀνάπαυλα γάρ, ὦ Πρώταρχε, τῆς σπουδῆς γίγνεται
rest for O Protarchus from-the seriousness becomes
ἐνίοτε ἡ παιδιά.
sometimes the play
PROT. καλῶς εἶπες.
well you-said

Pleasure and pain arise in the mixed kind. When an animal's harmony is dissolved, pain comes; when it is restored, pleasure: hunger and eating, thirst and drinking, stifling heat and cooling, freezing and warming. A second kind belongs to the soul alone, through expectation. If neither dissolution nor restoration is happening, the animal feels neither, a third condition.

31 SOC. νῦν δήπου, ὦ ἑταῖρε, οὗ μὲν γένους ἐστὶ καὶ
now surely O comrade of-what indeed kind it-is and
τίνα ποτὲ δύναμιν κέκτηται, σχεδὸν ἐπιεικῶς ἡμῖν τὰ νῦν
what ever power it-has-acquired nearly fairly to-us the now
δεδήλωται.
has-been-shown

PROT. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. καὶ μὴν ἡδονῆς γε ὡσαύτως πάλαι τὸ γένος ἐφάνη.
and indeed of-pleasure at-least likewise long-ago the kind appeared

PROT. καὶ μάλα.
and very(-much)

SOC. μεμνώμεθα δὴ καὶ ταῦτα περὶ ἀμφοῖν, ὅτι νοῦς μὲν
let-us-remember indeed also these-things about both that mind indeed
αἰτίας ἦν συγγενὴς καὶ τούτου σχεδὸν τοῦ γένους, ἡδονὴ δὲ
of-cause was akin and of-this nearly the kind pleasure and
ἄπειρός τε αὐτὴ καὶ τοῦ μήτε ἀρχὴν μήτε μέσα μήτε
unlimited both itself and of-the neither beginning nor middle-things nor
τέλος ἐν αὑτῷ ἀφ' ἑαυτοῦ ἔχοντος μηδὲ ἕξοντός ποτε γένους.
end in itself from itself having nor going-to-have ever kind

b PROT. μεμνησόμεθα· πῶς γὰρ οὔ;
we-shall-remember how for not

SOC. δεῖ δὴ τὸ μετὰ τοῦτο, ἐν ᾧ τέ ἐστιν
it-is-needful indeed the(-thing) after this in what both is
ἑκάτερον αὐτοῖν καὶ διὰ τί πάθος γίγνεσθον
each of-the-two and because-of what experience they-two-come-about
ὁπόταν γίγνησθον ἰδεῖν ἡμᾶς. πρῶτον τὴν ἡδονήν·
whenever they-two-come-about to-see us first the pleasure
ὥσπερ τὸ γένος αὐτῆς πρότερον ἐβασανίσαμεν, οὕτω καὶ
as the kind of-it first we-tested so also
ταῦτα πρότερα. λύπης δὲ αὖ χωρὶς τὴν ἡδονὴν οὐκ
these-things first of-pain and again apart the pleasure not
ἄν ποτε δυναίμεθα ἱκανῶς βασανίσαι.
— ever we-could sufficiently test
PROT. ἀλλ᾽ εἰ ταύτῃ χρὴ πορεύεσθαι, ταύτῃ πορευώμεθα.
but if in-this-way one-must to-travel in-this-way let-us-travel
SOC. ἆρ᾽ οὖν σοὶ καθάπερ ἐμοὶ φαίνεται τῆς γενέσεως
so then to-you as to-me does-it-appear of-the generation
αὐτῶν πέρι;
of-them about
PROT. τὸ ποῖον; c
the what-sort
SOC. ἐν τῷ κοινῷ μοι γένει ἅμα φαίνεσθον λύπη τε καὶ
in the common to-me kind together appear-the-two pain both and
ἡδονὴ γίγνεσθαι κατὰ φύσιν.
pleasure to-come-about according-to nature
PROT. κοινὸν δέ γε, ὦ φίλε Σώκρατες, ὑπομίμνῃσκε ἡμᾶς
common and at-least O dear Socrates remind us
τί ποτε τῶν προειρημένων βούλει δηλοῦν.
what ever of-the before-mentioned you-wish to-show
SOC. ἔσται ταῦτ᾽ εἰς δύναμιν, ὦ θαυμάσιε.
it-will-be these-things to power O marvelous(-man)
PROT. καλῶς εἶπες.
well you-said

SOC. κοινὸν τοίνυν ὑπακούωμεν ὃ δὴ τῶν τεττάρων
common then let-us-understand which indeed of-the four
τρίτον ἐλέγομεν.
third we-were-calling

PROT. ὃ μετὰ τὸ ἄπειρον καὶ πέρας ἔλεγες, ἐν ᾧ
which after the unlimited and limit you-were-calling in which
καὶ ὑγίειαν, οἶμαι δὲ καὶ ἁρμονίαν, ἐτίθεσο;
also health I-think and also harmony you-set

d SOC. κάλλιστ᾽ εἶπες. τὸν νοῦν δὲ ὅτι μάλιστ᾽ ἤδη πρόσεχε.
most-finely you-said the mind and as most now apply

PROT. λέγε μόνον.
speak only

SOC. λέγω τοίνυν τῆς ἁρμονίας μὲν λυομένης ἡμῖν ἐν
I-say then of-the harmony indeed being-dissolved for-us in
τοῖς ζῴοις ἅμα λύσιν τῆς φύσεως καὶ γένεσιν
the animals at-the-same-time dissolution of-the nature and generation
ἀλγηδόνων ἐν τῷ τότε γίγνεσθαι χρόνῳ.
of-pains in the then to-come-about time

PROT. πάνυ λέγεις εἰκός.
very you-say likely(-things)

SOC. πάλιν δὲ ἁρμοττομένης τε καὶ εἰς τὴν αὑτῆς φύσιν
again and being-fitted both and into the its-own nature
ἀπιούσης ἡδονὴν γίγνεσθαι λεκτέον, εἰ δεῖ δι᾽ ὀλίγων
going-back pleasure to-come-about must-be-said if one-must through few(-words)
περὶ μεγίστων ὅτι τάχιστα ῥηθῆναι.
about greatest(-things) as quickly-as-possible to-be-spoken

e PROT. οἶμαι μέν σε ὀρθῶς λέγειν, ὦ Σώκρατες, ἐμφανέστερον
I-think indeed you rightly to-speak O Socrates more-plainly
δὲ ἔτι ταὐτὰ ταῦτα πειρώμεθα λέγειν.
and still the-same these let-us-try to-say

SOC. οὐκοῦν τὰ δημόσιά που καὶ περιφανῆ ῥᾷστον
therefore the public surely and conspicuous(-things) easiest
συννοεῖν;
to-understand
PROT. ποῖα;
what-sort
SOC. πείνη μέν που λύσις καὶ λύπη;
hunger indeed surely dissolution and pain
PROT. ναί.
yes
SOC. ἐδωδὴ δέ, πλήρωσις γιγνομένη πάλιν, ἡδονή;
eating and filling coming-about again pleasure
PROT. ναί.
yes
SOC. δίψος δ' αὖ φθορὰ καὶ λύπη, ἡ δὲ τοῦ ὑγροῦ πάλιν 32
thirst and again destruction and pain the and of-the wet again
τὸ ξηρανθὲν πληροῦσα δύναμις ἡδονή· διάκρισις δέ γ'
the dried filling power pleasure separation and at-least
αὖ καὶ διάλυσις ἡ παρὰ φύσιν, τοῦ πνίγους πάθη,
again and dissolution the contrary-to nature of-the stifling-heat experiences
λύπη, κατὰ φύσιν δὲ πάλιν ἀπόδοσίς τε καὶ ψῦξις ἡδονή.
pain according-to nature and again restoration both and cooling pleasure
PROT. πάνυ μὲν οὖν.
certainly indeed then
SOC. καὶ ῥίγους ἡ μὲν παρὰ φύσιν τοῦ ζῴου τῆς b
and of-cold the indeed contrary-to nature of-the animal of-the
ὑγρότητος πῆξις λύπη· πάλιν δ' εἰς ταὐτὸν ἀπιόντων
moisture congealing pain back and into the-same going-back
καὶ διακρινομένων ἡ κατὰ φύσιν ὁδὸς ἡδονή. καὶ
and separating the according-to nature road pleasure and
ἑνὶ λόγῳ σκόπει εἴ σοι μέτριος ὁ λόγος ὃς
in-one word consider whether to-you moderate the argument which

ἂν φῇ τὸ ἐκ τῆς ἀπείρου καὶ πέρατος κατὰ
— says the(-form) from the unlimited and limit according-to
φύσιν ἔμψυχον γεγονὸς εἶδος, ὅπερ ἔλεγον ἐν τῷ
nature ensouled having-come-to-be form which-very I-was-saying in the
πρόσθεν, ὅταν μὲν τοῦτο φθείρηται, τὴν μὲν φθορὰν
former(-argument) whenever indeed this is-destroyed the indeed destruction
λύπην εἶναι, τὴν δ' εἰς τὴν αὑτῶν οὐσίαν ὁδόν, ταύτην
pain to-be the and into the their-own being road this
δὲ αὖ πάλιν τὴν ἀναχώρησιν πάντων ἡδονήν.
and again back the withdrawal of-all pleasure

PROT. ἔστω· δοκεῖ γάρ μοι τύπον γέ τινα ἔχειν.
let-it-be it-seems for to-me outline at-least some to-have

SOC. τοῦτο μὲν τοίνυν ἓν εἶδος τιθώμεθα λύπης τε καὶ
this indeed then one form let-us-set of-pain both and
ἡδονῆς ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις;
of-pleasure in these the experiences each

PROT. κείσθω.
let-it-lie

c SOC. τίθει τοίνυν αὐτῆς τῆς ψυχῆς κατὰ τὸ τούτων τῶν
set then itself of-the soul according-to the of-these the
παθημάτων προσδόκημα τὸ μὲν πρὸ τῶν ἡδέων
experiences expectation the(-one) indeed before the pleasant(-things)
ἐλπιζόμενον ἡδὺ καὶ θαρραλέον, τὸ δὲ πρὸ τῶν
hoped pleasant and confident the(-one) and before the
λυπηρῶν φοβερὸν καὶ ἀλγεινόν.
painful(-things) fearful and grievous

PROT. ἔστι γὰρ οὖν τοῦθ' ἡδονῆς καὶ λύπης ἕτερον εἶδος,
it-is for indeed this of-pleasure and of-pain other form
τὸ χωρὶς τοῦ σώματος αὐτῆς τῆς ψυχῆς διὰ
the(-one) apart-from the body itself of-the soul through
προσδοκίας γιγνόμενον.
expectation coming-about

SOC. ὀρθῶς ὑπέλαβες. ἐν γὰρ τούτοις οἶμαι, κατά γε τὴν d
rightly you-took-up in for these I-think according-to at-least the
ἐμὴν δόξαν, εἰλικρινέσιν τε ἑκατέροις γιγνομένοις, ὡς δοκεῖ,
my opinion pure both each coming-about as it-seems
καὶ ἀμείκτοις λύπης τε καὶ ἡδονῆς, ἐμφανὲς ἔσεσθαι τὸ
and unmixed of-pain both and of-pleasure plain will-be the(-thing)
περὶ τὴν ἡδονήν, πότερον ὅλον ἐστὶ τὸ γένος ἀσπαστόν,
about the pleasure whether whole is the kind welcome
ἢ τοῦτο μὲν ἑτέρῳ τινὶ τῶν προειρημένων δοτέον ἡμῖν
or this indeed to-another some of-the before-mentioned must-be-given by-us
γενῶν, ἡδονῇ δὲ καὶ λύπῃ, καθάπερ θερμῷ καὶ ψυχρῷ
kinds to-pleasure but and to-pain as to-hot and to-cold
καὶ πᾶσι τοῖς τοιούτοις, τοτὲ μὲν ἀσπαστέον αὐτά,
and all the such at-one-time indeed must-be-welcomed them
τοτὲ δὲ οὐκ ἀσπαστέον, ὡς ἀγαθὰ μὲν οὐκ ὄντα,
at-another-time and not must-be-welcomed as goods indeed not being
ἐνίοτε δὲ καὶ ἔνια δεχόμενα τὴν τῶν ἀγαθῶν ἕστιν ὅτε φύσιν.
sometimes but also some receiving the of-the goods there-is when nature
PROT. ὀρθότατα λέγεις, ὅτι ταύτῃ πῃ δεῖ
most-rightly you-speak that in-this-way somehow one-must
διαπορηθῆναι τὸ νῦν μεταδιωκόμενον.
to-go-through-the-difficulty the now pursued
SOC. πρῶτον μὲν τοίνυν τόδε συνίδωμεν· εἴπερ ὄντως ἔστι e
first indeed then this let-us-see-together if-indeed really is
τὸ λεγόμενον, διαφθειρομένων μὲν αὐτῶν ἀλγηδών,
the(-thing) said being-destroyed indeed of-them pain
ἀνασῳζομένων δὲ ἡδονή, τῶν μήτε διαφθειρομένων μήτε
being-restored and pleasure of-the neither being-destroyed nor
ἀνασῳζομένων ἐννοήσωμεν πέρι, τίνα ποτὲ ἕξιν δεῖ τότε
being-restored let-us-consider about what ever state must then
ἐν ἑκάστοις εἶναι τοῖς ζῴοις, ὅταν οὕτως ἴσχῃ. σφόδρα
in each to-be the animals whenever so it-is strongly

δὲ προσέχων τὸν νοῦν εἰπέ· ἆρα οὐ πᾶσα ἀνάγκη πᾶν
and applying the mind say then not every necessity every
ἐν τῷ τότε χρόνῳ ζῷον μήτε τι λυπεῖσθαι μήτε
in the then time animal neither anything to-feel-pain nor
ἥδεσθαι μήτε μέγα μήτε σμικρόν;
to-feel-pleasure neither great nor small
PROT. ἀνάγκη μὲν οὖν.
necessity indeed then

XII · MEMORY AND DESIRE

The life of thought without pleasure or pain may be the most divine. Perception is a motion of soul and body together, memory its preservation, and recollection its recovery by the soul alone. Desire, as in thirst, is for the opposite of what the body suffers; the emptied seek filling, which they can grasp only by memory, so all desire belongs to the soul. Socrates then asks about one who stands midway between pain and its relief.

33 SOC. οὐκοῦν ἔστι τις τρίτη ἡμῶν ἡ τοιαύτη διάθεσις
therefore there-is some third of-us the such condition
παρά τε τὴν τοῦ χαίροντος καὶ παρὰ τὴν
beside both the(-condition) of-the rejoicing(-man) and beside the(-condition)
τοῦ λυπουμένου;
of-the feeling-pain
PROT. τί μήν;
what indeed
SOC. ἄγε δὴ τοίνυν, ταύτης προθυμοῦ μεμνῆσθαι. πρὸς
come indeed then this be-eager to-remember with-regard-to
γὰρ τὴν τῆς ἡδονῆς κρίσιν οὐ σμικρὸν μεμνῆσθαι ταύτην
for the of-the pleasure judgment not small(-thing) to-remember this

ἔσθ' ἡμῖν ἢ μή. βραχὺ δέ τι περὶ αὐτῆς, εἰ βούλει,
is for-us or not briefly and something about it if you-wish
διαπεράνωμεν.
let-us-go-through

PROT. λέγε ποῖον.
say what-sort

SOC. τὸν τοῦ φρονεῖν βίον οἶσθ' ὡς τοῦτον τὸν τρόπον
the of-the being-prudent life you-know that this the way
οὐδὲν ἀποκωλύει ζῆν.
nothing prevents to-live

PROT. τὸν τοῦ μὴ χαίρειν μηδὲ λυπεῖσθαι λέγεις; b
the(-life) of-the not rejoicing nor feeling-pain do-you-mean

SOC. ἐρρήθη γάρ που τότε ἐν τῇ παραβολῇ τῶν βίων
it-was-said for surely then in the comparison of-the lives
μηδὲν δεῖν μήτε μέγα μήτε σμικρὸν χαίρειν τῷ
nothing to-be-necessary neither great nor small to-rejoice for-the(-one)
τὸν τοῦ νοεῖν καὶ φρονεῖν βίον ἑλομένῳ.
the of-the understanding and being-prudent life having-chosen

PROT. καὶ μάλα οὕτως ἐρρήθη.
and very so it-was-said

SOC. οὐκοῦν οὕτως ἂν ἐκείνῳ γε ὑπάρχοι· καὶ ἴσως
therefore so — to-that(-one) at-least it-would-belong and perhaps
οὐδὲν ἄτοπον εἰ πάντων τῶν βίων ἐστὶ θειότατος.
nothing strange if of-all the lives it-is most-divine

PROT. οὔκουν εἰκός γε οὔτε χαίρειν θεοὺς οὔτε τὸ
not-then likely at-least either to-rejoice gods or the
ἐναντίον.
opposite

SOC. πάνυ μὲν οὖν οὐκ εἰκός· ἄσχημον γοῦν αὐτῶν c
certainly indeed then not likely unseemly at-any-rate of-them
ἑκάτερον γιγνόμενόν ἐστιν. ἀλλὰ δὴ τοῦτο μὲν ἔτι καὶ
each becoming is but indeed this indeed still also

εἰς αὖθις ἐπισκεψόμεθα, ἐὰν πρὸς λόγον τι ᾖ,
to another-time we-shall-examine if to the-argument anything it-be
καὶ τῷ νῷ πρὸς τὰ δευτερεῖα, ἐὰν μὴ πρὸς τὰ πρωτεῖα
and to-the mind toward the second-prizes if not toward the first-prizes
δυνώμεθα προσθεῖναι, προσθήσομεν.
we-can to-add we-shall-add(-it)

PROT. ὀρθότατα λέγεις.
most-rightly you-speak

SOC. καὶ μὴν τό γε ἕτερον εἶδος τῶν ἡδονῶν, ὃ
and indeed the at-least other form of-the pleasures which
τῆς ψυχῆς αὐτῆς ἔφαμεν εἶναι, διὰ μνήμης πᾶν ἐστι
of-the soul itself we-said to-be through memory all is
γεγονός.
having-come-about

PROT. πῶς;
how

SOC. μνήμην, ὡς ἔοικεν, ὅτι ποτ' ἔστιν πρότερον
memory as it-seems what ever is first
ἀναληπτέον, καὶ κινδυνεύει πάλιν ἔτι πρότερον αἴσθησιν
must-be-taken-up and it-is-likely again still before perception
μνήμης, εἰ μέλλει τὰ περὶ ταῦθ' ἡμῖν κατὰ τρόπον
than-memory if are-going the(-things) about these to-us according-to way
φανερά πῃ γενήσεσθαι.
plain somehow to-become

d PROT. πῶς φῄς;
how do-you-say

SOC. θὲς τῶν περὶ τὸ σῶμα ἡμῶν ἑκάστοτε παθημάτων
set of-the about the body our each-time experiences
τὰ μὲν ἐν τῷ σώματι κατασβεννύμενα πρὶν ἐπὶ τὴν
the(-ones) indeed in the body being-quenched before to the
ψυχὴν διεξελθεῖν ἀπαθῆ ἐκείνην ἐάσαντα, τὰ δὲ δι'
soul to-pass-through unaffected that having-left the(-ones) and through

ἀμφοῖν ἰόντα καί τινα ὥσπερ σεισμὸν ἐντιθέντα ἴδιόν
both going and some as quaking putting-in peculiar
τε καὶ κοινὸν ἑκατέρῳ.
both and common to-each

PROT. κείσθω.
let-it-lie

SOC. τὰ μὲν δὴ μὴ δι' ἀμφοῖν ἰόντα ἐὰν τὴν
the(-ones) indeed indeed not through both going if the
ψυχὴν ἡμῶν φῶμεν λανθάνειν, τὰ δὲ δι' ἀμφοῖν
soul our we-say to-escape-the-notice-of the(-ones) and through both
μὴ λανθάνειν, ἆρ' ὀρθότατα ἐροῦμεν;
not to-escape-the-notice-of so most-rightly shall-we-speak

PROT. πῶς γὰρ οὔ; e
how for not

SOC. τὸ τοίνυν λεληθέναι μηδαμῶς ὑπολάβῃς ὡς λέγω
the then to-have-escaped-notice in-no-way suppose that I-mean
λήθης ἐνταῦθά που γένεσιν· ἔστι γὰρ λήθη μνήμης
of-forgetting here surely generation is for forgetting of-memory
ἔξοδος, ἡ δ' ἐν τῷ λεγομένῳ νῦν οὔπω γέγονε.
departure the(-memory) and in the said now not-yet has-come-about
τοῦ δὴ μήτε ὄντος μήτε γεγονότος πω γίγνεσθαι
of-the(-thing) indeed neither being nor having-come-about yet to-come-about
φάναι τινὰ ἀποβολὴν ἄτοπον. ἦ γάρ;
to-say some loss strange is-it-not for

PROT. τί μήν;
what indeed

SOC. τὰ τοίνυν ὀνόματα μετάβαλε μόνον.
the then names change only

PROT. πῶς;
how

34 SOC. ἀντὶ μὲν τοῦ λεληθέναι τὴν ψυχήν, ὅταν
instead-of indeed the to-have-escaped-the-notice the soul whenever
ἀπαθὴς αὕτη γίγνηται τῶν σεισμῶν τῶν τοῦ σώματος,
unaffected it becomes of-the quakings the of-the body
ἣν νῦν λήθην καλεῖς ἀναισθησίαν ἐπονόμασον.
which now forgetting you-call insensibility name(-it)

PROT. ἔμαθον.
I-understood

SOC. τὸ δ' ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα
the(-thing) and in one experience the soul and the body
κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δ' αὖ τὴν
in-common coming-about in-common also to-be-moved this and again the
κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοι' ἄν.
motion naming perception not from way you-would-utter —

PROT. ἀληθέστατα λέγεις.
most-truly you-speak

SOC. οὐκοῦν ἤδη μανθάνομεν ὃ βουλόμεθα καλεῖν τὴν
therefore already we-understand what we-wish to-call the
αἴσθησιν;
perception

PROT. τί μήν;
what indeed

SOC. σωτηρίαν τοίνυν αἰσθήσεως τὴν μνήμην λέγων ὀρθῶς
preservation then of-perception the memory calling rightly
ἄν τις λέγοι κατά γε τὴν ἐμὴν δόξαν.
— one would-speak according-to at-least the my opinion

b PROT. ὀρθῶς γὰρ οὖν.
rightly for indeed

SOC. μνήμης δὲ ἀνάμνησιν ἆρ' οὐ διαφέρουσαν λέγομεν;
from-memory and recollection so not differing do-we-say

PROT. ἴσως.
perhaps

SOC. ἆρ᾽ οὖν οὐ τόδε;
so then not this

PROT. τὸ ποῖον;
the what-sort

SOC. ὅταν ἃ μετὰ τοῦ σώματος ἔπασχέν ποθ᾽ ἡ ψυχή,
whenever what-things with the body experienced once the soul
ταῦτ᾽ ἄνευ τοῦ σώματος αὐτὴ ἐν ἑαυτῇ ὅτι μάλιστα
these-things without the body itself in itself as most
ἀναλαμβάνῃ, τότε ἀναμιμνήσκεσθαί που λέγομεν. ἦ γάρ;
takes-up-again then to-recollect surely we-say is-it-not for

PROT. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην εἴτ᾽ αἰσθήσεως c
and indeed also whenever having-lost memory whether of-perception
εἴτ᾽ αὖ μαθήματος αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ
or again of-learning again this it-recovers again itself
ἐν ἑαυτῇ, καὶ ταῦτα σύμπαντα ἀναμνήσεις που λέγομεν.
in itself also these-things all recollections surely we-call

PROT. ὀρθῶς λέγεις.
rightly you-speak

SOC. οὗ δὴ χάριν ἅπαντ᾽ εἴρηται ταῦτ᾽, ἔστι τόδε.
of-what indeed for-the-sake-of all has-been-said these is this

PROT. τὸ ποῖον;
the what-sort

SOC. ἵνα πῃ τὴν ψυχῆς ἡδονὴν χωρὶς σώματος ὅτι
so-that somehow the of-soul pleasure apart from-body as
μάλιστα καὶ ἐναργέστατα λάβοιμεν, καὶ ἅμα
most and most-plainly we-might-grasp and at-the-same-time
ἐπιθυμίαν· διὰ γὰρ τούτων πως ταῦτα ἀμφότερα ἔοικεν
desire through for these somehow these both seem
δηλοῦσθαι.
to-be-made-clear

PROT. λέγωμεν τοίνυν, ὦ Σώκρατες, ἤδη τὸ μετὰ
let-us-speak then O Socrates now the(-thing) after
ταῦτα.
these-things

d SOC. πολλά γε περὶ γένεσιν ἡδονῆς καὶ πᾶσαν μορφὴν
many-things at-least about generation of-pleasure and every form
αὐτῆς ἀναγκαῖον, ὡς ἔοικε, λέγοντας σκοπεῖν. καὶ γὰρ
of-it necessary as it-seems speaking to-examine and for
νῦν πρότερον ἔτι φαίνεται ληπτέον ἐπιθυμίαν εἶναι τί
now first still it-appears must-be-grasped desire to-be what
ποτ' ἔστι καὶ ποῦ γίγνεται.
ever is and where it-comes-about
PROT. σκοπῶμεν τοίνυν· οὐδὲν γὰρ ἀπολοῦμεν.
let-us-examine then nothing for we-shall-lose
SOC. ἀπολοῦμεν μὲν οὖν ταῦτά γε, ὦ Πρώταρχε·
we-shall-lose indeed then these at-least O Protarchus
εὑρόντες ὃ νῦν ζητοῦμεν, ἀπολοῦμεν τὴν περὶ αὐτὰ
having-found what now we-seek we-shall-lose the about themselves
ταῦτα ἀπορίαν.
these perplexity
PROT. ὀρθῶς ἠμύνω· τὸ δ' ἐφεξῆς τούτοις πειρώμεθα
rightly you-retorted the(-thing) and next to-these let-us-try
λέγειν.
to-say

e SOC. οὐκοῦν νυνδὴ πείνην τε καὶ δίψος καὶ πολλὰ ἕτερα
therefore just-now hunger both and thirst and many other
τοιαῦτα ἔφαμεν εἶναί τινας ἐπιθυμίας;
such we-said to-be some desires
PROT. σφόδρα γε.
strongly at-least

SOC. πρὸς τί ποτε ἄρα ταὐτὸν βλέψαντες οὕτω πολὺ
toward what ever then the-same looking so much
διαφέροντα ταῦθ' ἑνὶ προσαγορεύομεν ὀνόματι;
differing these by-one do-we-address name
PROT. μὰ Δί' οὐ ῥᾴδιον ἴσως εἰπεῖν, ὦ Σώκρατες, ἀλλ'
by Zeus not easy perhaps to-say O Socrates but
ὅμως λεκτέον.
nevertheless it-must-be-said
SOC. ἐκεῖθεν δὴ ἐκ τῶν αὐτῶν πάλιν ἀναλάβωμεν.
from-there indeed from the same(-things) again let-us-take-up
PROT. πόθεν δή;
whence indeed
SOC. διψῇ γέ που λέγομεν ἑκάστοτέ τι;
is-thirsty at-least surely we-say each-time something
PROT. πῶς δ' οὔ;
how and not
SOC. τοῦτο δέ γ' ἐστὶ κενοῦται;
this and at-least is is-emptied
PROT. τί μήν;
what indeed
SOC. ἆρ' οὖν τὸ δίψος ἐστὶν ἐπιθυμία;
so then the thirst is desire
PROT. ναί, πώματός γε.
yes of-drink at-least
SOC. πώματος, ἢ πληρώσεως πώματος; 35
of-drink or of-filling of-drink
PROT. οἶμαι μὲν πληρώσεως.
I-think indeed of-filling
SOC. ὁ κενούμενος ἡμῶν ἄρα, ὡς ἔοικεν, ἐπιθυμεῖ τῶν
the(-one) being-emptied of-us then as it-seems desires the
ἐναντίων ἢ πάσχει· κενούμενος γὰρ ἐρᾷ πληροῦσθαι.
opposite(-things) than he-suffers being-emptied for he-loves to-be-filled

PROT. σαφέστατά γε.

most-clearly at-least

SOC. τί οὖν; ὁ τὸ πρῶτον κενούμενος ἔστιν ὁπόθεν

what then the(-one) the first being-emptied is-there whence

εἴτ' αἰσθήσει πληρώσεως ἐφάπτοιτ' ἂν εἴτε μνήμῃ,

whether by-perception of-filling he-could-lay-hold — or by-memory

τούτου ὃ μήτ' ἐν τῷ νῦν χρόνῳ πάσχει μήτ' ἐν τῷ

of-this which neither in the present time he-suffers nor in the

πρόσθεν πώποτε ἔπαθεν;

former ever he-suffered

PROT. καὶ πῶς;

and how

b SOC. ἀλλὰ μὴν ὅ γε ἐπιθυμῶν τινὸς ἐπιθυμεῖ,

but indeed the(-one) at-least desiring something desires

φαμέν.

we-say

PROT. πῶς γὰρ οὔ;

how for not

SOC. οὐκ ἄρα ὅ γε πάσχει, τούτου ἐπιθυμεῖ. διψῇ

not then what at-least he-suffers this he-desires he-is-thirsty

γάρ, τοῦτο δὲ κένωσις· ὁ δ' ἐπιθυμεῖ πληρώσεως.

for this and emptying he and desires filling

PROT. ναί.

yes

SOC. πληρώσεώς γ' ἄρα πή τι τῶν τοῦ

of-filling at-least then somehow something of-the(-parts) of-the

διψῶντος ἂν ἐφάπτοιτο.

thirsting(-man) — would-lay-hold

PROT. ἀναγκαῖον.

necessary

SOC. τὸ μὲν δὴ σῶμα ἀδύνατον· κενοῦται γάρ που.

the indeed indeed body impossible it-is-emptied for surely

PROT. ναί.

yes

SOC. τὴν ψυχὴν ἄρα τῆς πληρώσεως ἐφάπτεσθαι λοιπόν, c

the soul then of-the filling to-lay-hold-of remains

τῇ μνήμῃ δῆλον ὅτι· τῷ γὰρ ἂν ἔτ᾽ ἄλλῳ ἐφάψαιτο;

by-the memory clearly that by-what for — still other could-it-lay-hold

PROT. σχεδὸν οὐδενί.

nearly by-nothing

SOC. μανθάνομεν οὖν ὃ συμβέβηχ᾽ ἡμῖν ἐκ τούτων τῶν

do-we-understand then what has-resulted for-us from these the

λόγων;

arguments

PROT. τὸ ποῖον;

the what-sort

SOC. σώματος ἐπιθυμίαν οὔ φησιν ἡμῖν οὗτος ὁ λόγος

of-body desire not says to-us this the argument

γίγνεσθαι.

to-come-about

PROT. πῶς;

how

SOC. ὅτι τοῖς ἐκείνου παθήμασιν ἐναντίαν ἀεὶ παντὸς

because to-the of-that experiences opposite always of-every

ζῴου μηνύει τὴν ἐπιχείρησιν.

animal it-reveals the endeavor

PROT. καὶ μάλα.

and very(-much)

SOC. ἡ δ᾽ ὁρμή γε ἐπὶ τοὐναντίον ἄγουσα ἢ

the and impulse at-least toward the-opposite leading than

τὰ παθήματα δηλοῖ που μνήμην οὖσαν τῶν τοῖς

the experiences shows surely memory being of-the(-things) to-the

παθήμασιν ἐναντίων.

experiences opposite

PROT. πάνυ γε.
certainly at-least

d SOC. τὴν ἄρα ἐπάγουσαν ἐπὶ τὰ ἐπιθυμούμενα ἀποδείξας
the then leading-on to the desired(-things) having-shown
μνήμην ὁ λόγος ψυχῆς σύμπασαν τήν τε ὁρμὴν καὶ
memory the argument of-soul all the both impulse and
ἐπιθυμίαν καὶ τὴν ἀρχὴν τοῦ ζῴου παντὸς ἀπέφηνεν.
desire and the rule of-the animal whole declared

PROT. ὀρθότατα.
most-rightly

SOC. διψῆν ἄρα ἡμῶν τὸ σῶμα ἢ πεινῆν ἤ τι τῶν
to-thirst then our the body or to-hunger or something of-the
τοιούτων πάσχειν οὐδαμῇ ὁ λόγος αἱρεῖ.
such to-suffer in-no-way the argument proves

PROT. ἀληθέστατα.
most-truly

SOC. ἔτι δὴ καὶ τόδε περὶ ταὐτὰ ταῦτα κατανοήσωμεν.
still indeed also this about the-same these let-us-observe
βίου γὰρ εἶδός τί μοι φαίνεται βούλεσθαι δηλοῦν ὁ
of-life for form something to-me appears to-wish to-show the
λόγος ἡμῖν ἐν τούτοις αὐτοῖς.
argument for-us in these themselves

e PROT. ἐν τίσι καὶ ποίου πέρι βίου φράζεις;
in what(-things) and of-what-sort about life do-you-tell

SOC. ἐν τῷ πληροῦσθαι καὶ κενοῦσθαι καὶ πᾶσιν ὅσα
in the to-be-filled and to-be-emptied and all as-many-as
περὶ σωτηρίαν τέ ἐστι τῶν ζῴων καὶ τὴν φθοράν, καὶ εἴ
about preservation both are of-the animals and the destruction and if
τις τούτων ἐν ἑκατέρῳ γιγνόμενος ἡμῶν ἀλγεῖ, τοτὲ
one of-these in each coming-to-be of-us feels-pain at-another-time
δὲ χαίρει κατὰ τὰς μεταβολάς.
and rejoices according-to the changes

PROT. ἔστι ταῦτα.
it-is these-things

SOC. τί δ᾽ ὅταν ἐν μέσῳ τούτων γίγνηται;
what and whenever in middle of-these he-is

PROT. πῶς ἐν μέσῳ;
how in middle

XIII · TRUE AND FALSE PLEASURES

One who is emptied and hopes to be filled is pained and glad at once; one emptied without hope suffers a double pain. Socrates asks whether pleasures and pains, like fears, expectations, and opinions, can be true or false; Protarchus allows it only of opinions. One who opines, rightly or not, really opines, and one who feels pleasure really feels it. But opinion and pleasure both take on qualities, a pleasure that errs about its object cannot be called right, and pleasure often comes with false opinion.

SOC. διὰ μὲν τὸ πάθος ἀλγῇ, μεμνῆται δὲ τῶν 36
because-of indeed the experience he-is-in-pain he-remembers and the
ἡδέων ὧν γενομένων παύοιτ᾽ ἂν τῆς ἀλγηδόνος,
pleasant(-things) which having-come-about he-would-cease — from-the pain
πληρῶται δὲ μήπω· τί τότε; φῶμεν ἢ μὴ φῶμεν
he-is-filled but not-yet what then shall-we-say or not shall-we-say
αὐτὸν ἐν μέσῳ τῶν παθημάτων εἶναι;
him in middle of-the experiences to-be

PROT. φῶμεν μὲν οὖν.
let-us-say indeed then

SOC. πότερον ἀλγοῦνθ᾽ ὅλως ἢ χαίροντα;
whether being-in-pain wholly or rejoicing

PROT. μὰ Δί̓, ἀλλὰ διπλῇ τινὶ λύπῃ λυπούμενον, κατὰ
by Zeus but with-double some pain pained according-to
μὲν τὸ σῶμα ἐν τῷ παθήματι, κατὰ δὲ τὴν ψυχὴν
indeed the body in the experience according-to and the soul
προσδοκίας τινὶ πόθῳ.
of-expectation by-some longing

b SOC. πῶς, ὦ Πρώταρχε, τὸ διπλοῦν τῆς λύπης εἶπες; ἆρ᾽
how O Protarchus the double of-the pain did-you-say so
οὐκ ἔστι μὲν ὅτε τις ἡμῶν κενούμενος ἐν ἐλπίδι φανερᾷ
not there-is indeed when one of-us being-emptied in hope plain
τοῦ πληρωθήσεσθαι καθέστηκε, τοτὲ δὲ τοὐναντίον
of-the to-be-going-to-be-filled is-set at-another-time and the-opposite
ἀνελπίστως ἔχει;
hopelessly is

PROT. καὶ μάλα γε.
and very at-least

SOC. μῶν οὖν οὐχὶ ἐλπίζων μὲν πληρωθήσεσθαι τῷ
surely-not then not hoping indeed to-be-going-to-be-filled by-the
μεμνῆσθαι δοκεῖ σοι χαίρειν, ἅμα δὲ κενούμενος
remembering he-seems to-you to-rejoice at-the-same-time and being-emptied
ἐν τούτοις ἀλγεῖν;
in these to-be-in-pain

PROT. ἀνάγκη.
necessity

SOC. τότε ἄρ᾽ ἄνθρωπος καὶ τἆλλα ζῷα λυπεῖταί τε
then then man and the-other animals feel-pain both
ἅμα καὶ χαίρει.
at-the-same-time and rejoice

PROT. κινδυνεύει.
it-is-likely

SOC. τί δ' ὅταν ἀνελπίστως ἔχῃ κενούμενος τεύξεσθαι c
what and whenever hopelessly he-is being-emptied to-attain
πληρώσεως; ἆρ' οὐ τότε τὸ διπλοῦν γίγνοιτ' ἂν περὶ
filling so not then the double would-come-about — about
τὰς λύπας πάθος, ὃ σὺ νυνδὴ κατιδὼν ᾠήθης ἁπλῶς
the pains experience which you just-now having-seen thought simply
εἶναι διπλοῦν;
to-be double

PROT. ἀληθέστατα, ὦ Σώκρατες.
most-truly O Socrates

SOC. ταύτῃ δὴ τῇ σκέψει τούτων τῶν παθημάτων τόδε
this indeed the examination of-these the experiences this
χρησώμεθα.
let-us-use

PROT. τὸ ποῖον;
the what-sort

SOC. πότερον ἀληθεῖς ταύτας τὰς λύπας τε καὶ ἡδονὰς
whether true these the pains both and pleasures
ἢ ψευδεῖς εἶναι λέξομεν; ἢ τὰς μέν τινας ἀληθεῖς,
or false to-be shall-we-say or the(-ones) indeed some true
τὰς δ' οὔ;
the(-others) and not

PROT. πῶς δ', ὦ Σώκρατες, ἂν εἶεν ψευδεῖς ἡδοναὶ ἢ
how and O Socrates — could-there-be false pleasures or
λῦπαι;
pains

SOC. πῶς δέ, ὦ Πρώταρχε, φόβοι ἂν ἀληθεῖς ἢ ψευδεῖς,
how and O Protarchus fears — true or false
ἢ προσδοκίαι ἀληθεῖς ἢ μή, ἢ δόξαι ἀληθεῖς ἢ ψευδεῖς;
or expectations true or not or opinions true or false

d PROT. δόξας μὲν ἔγωγ' ἄν που συγχωροίην, τὰ δ'
opinions indeed I-at-least — surely would-grant the(-ones) and
ἕτερα ταῦτ' οὐκ ἄν.
other these not —
SOC. πῶς φῄς; λόγον μέντοι τινὰ κινδυνεύομεν οὐ πάνυ
how do-you-say argument however some we-run-the-risk not very
σμικρὸν ἐπεγείρειν.
small to-rouse
PROT. ἀληθῆ λέγεις.
true-things you-say
SOC. ἀλλ' εἰ πρὸς τὰ παρεληλυθότα, ὦ παῖ 'κείνου
but whether for the(-things) past O son of-that
τἀνδρός, προσήκοντα, τοῦτο σκεπτέον.
man fitting this must-be-examined
PROT. ἴσως τοῦτό γε.
perhaps this at-least
SOC. χαίρειν τοίνυν δεῖ λέγειν τοῖς ἄλλοις μήκεσιν ἢ
farewell then one-must to-say to-the other lengths or
καὶ ὁτῳοῦν τῶν παρὰ τὸ προσῆκον λεγομένων.
also to-any-whatever of-the(-things) beyond the fitting said
PROT. ὀρθῶς.
rightly
e SOC. λέγε δή μοι· θαῦμα γάρ μέ γε ἔχει διὰ τέλους
tell indeed me wonder for me at-least holds through end
ἀεὶ περὶ τὰ αὐτὰ ἃ νυνδὴ προυθέμεθα ἀπορήματα. πῶς
always about the same which just-now we-proposed perplexities how
δὴ φῄς; ψευδεῖς, αἱ δ' ἀληθεῖς οὐκ εἰσὶν ἡδοναί;
indeed do-you-say false the(-ones) and true not are pleasures
PROT. πῶς γὰρ ἄν;
how for —

SOC. οὔτε δὴ ὄναρ οὔθ' ὕπαρ, ὡς φῄς, οὔτ' ἐν μανίαις
neither indeed asleep nor awake as you-say nor in madnesses
οὔτ' ἐν παραφροσύναις οὐδεὶς ἔσθ' ὅστις ποτὲ δοκεῖ μὲν
nor in derangements anyone there-is who ever seems indeed
χαίρειν, χαίρει δὲ οὐδαμῶς, οὐδ' αὖ δοκεῖ μὲν λυπεῖσθαι,
to-rejoice rejoices but in-no-way nor again seems indeed to-feel-pain
λυπεῖται δ' οὔ.
feels-pain but not

PROT. πάνθ' οὕτω ταῦτα, ὦ Σώκρατες, ἔχειν πάντες
all so these-things O Socrates to-hold all
ὑπειλήφαμεν.
have-supposed

SOC. ἆρ' οὖν ὀρθῶς; ἢ σκεπτέον εἴτ' ὀρθῶς εἴτε μὴ
so then rightly or must-it-be-examined whether rightly or not
ταῦτα λέγεται;
these-things are-said

PROT. σκεπτέον, ὥς γ' ἐγὼ φαίην ἄν.
it-must-be-examined as at-least I would-say —

SOC. διορισώμεθα δὴ σαφέστερον ἔτι τὸ νυνδὴ λεγόμενον 37
let-us-distinguish indeed more-clearly still the just-now said
ἡδονῆς τε πέρι καὶ δόξης. ἔστιν γάρ πού τι δοξάζειν
of-pleasure both about and of-opinion there-is for surely something to-opine
ἡμῖν;
for-us

PROT. ναί.
yes

SOC. καὶ ἥδεσθαι;
and to-feel-pleasure

PROT. ναί.
yes

SOC. καὶ μὴν καὶ τὸ δοξαζόμενόν ἐστί τι;
and indeed also the opined is something

PROT. πῶς δ' οὔ;

how and not

SOC. καὶ τό γε ᾧ τὸ ἡδόμενον ἥδεται;

and the at-least in-which the feeling-pleasure feels-pleasure

PROT. καὶ πάνυ γε.

and certainly at-least

SOC. οὐκοῦν τὸ δοξάζον, ἄντε ὀρθῶς ἄντε μὴ ὀρθῶς

therefore the opining whether rightly or not rightly

δοξάζῃ, τό γε δοξάζειν ὄντως οὐδέποτε ἀπόλλυσιν.

it-opines the at-least to-opine really never loses

b PROT. πῶς γὰρ ἄν;

how for —

SOC. οὐκοῦν καὶ τὸ ἡδόμενον, ἄντε ὀρθῶς ἄντε μὴ ὀρθῶς

therefore also the feeling-pleasure whether rightly or not rightly

ἥδηται, τό γε ὄντως ἥδεσθαι δῆλον ὡς οὐδέποτ'

it-feels-pleasure the at-least really to-feel-pleasure clear that never

ἀπολεῖ.

it-will-lose

PROT. ναί, καὶ τοῦθ' οὕτως ἔχει.

yes also this so holds

SOC. ὅτῳ ποτὲ οὖν δὴ τρόπῳ δόξα ψευδής τε καὶ

in-what ever then indeed way opinion false both and

ἀληθὴς ἡμῖν φιλεῖ γίγνεσθαι, τὸ δὲ τῆς ἡδονῆς μόνον

true for-us is-wont to-come-about the(-thing) and of-the pleasure only

ἀληθές, δοξάζειν δ' ὄντως καὶ χαίρειν ἀμφότερα ὁμοίως

true to-opine and really and to-rejoice both alike

εἴληχεν σκεπτέον.

have-obtained must-be-examined

PROT. σκεπτέον.

it-must-be-examined

SOC. ἆρ' ὅτι δόξῃ μὲν ἐπιγίγνεσθον ψεῦδός τε καὶ c
so because to-opinion indeed the-two-come-upon falsehood both and
ἀληθές, καὶ ἐγένετο οὐ μόνον δόξα διὰ ταῦτα ἀλλὰ
truth and it-has-come-to-be not only opinion because-of these-things but
καὶ ποιά τις ἑκατέρα, σκεπτέον φῂς τοῦτ' εἶναι;
also of-a-sort some each must-be-examined do-you-say this to-be
PROT. ναί.
yes
SOC. πρὸς δέ γε τούτοις, εἰ καὶ τὸ παράπαν ἡμῖν
besides and at-least these if also — altogether for-us
τὰ μέν ἐστι ποῖ' ἄττα, ἡδονὴ δὲ καὶ λύπη
the(-things) indeed are of-some-sort some pleasure and also pain
μόνον ἅπερ ἐστί, ποιώ τινε δὲ οὐ γίγνεσθον, καὶ
only what-very they-are of-some-sort some-two and not become also
ταῦθ' ἡμῖν διομολογητέον.
these-things by-us must-be-agreed
PROT. δῆλον.
clear
SOC. ἀλλ' οὐδὲν τοῦτό γε χαλεπὸν ἰδεῖν, ὅτι καὶ ποιώ
but nothing this at-least hard to-see that also of-some-sort
τινε· πάλαι γὰρ εἴπομεν ὅτι μεγάλαι τε καὶ σμικραὶ
some-two long-ago for we-said that great both and small
καὶ σφόδρα ἑκάτεραι γίγνονται, λῦπαί τε καὶ ἡδοναί.
and strongly each become pains both and pleasures
PROT. παντάπασι μὲν οὖν. d
altogether indeed then
SOC. ἂν δέ γε πονηρία τούτων, ὦ Πρώταρχε,
if and at-least wickedness of-these O Protarchus
προσγίγνηταί τινι, πονηρὰν μὲν φήσομεν οὕτω γίγνεσθαι
be-added to-any wicked indeed we-shall-say so to-become
δόξαν, πονηρὰν δὲ καὶ ἡδονήν;
opinion wicked and also pleasure

PROT. ἀλλὰ τί μήν, ὦ Σώκρατες;
but what indeed O Socrates

SOC. τί δ', ἂν ὀρθότης ἢ τοὐναντίον ὀρθότητι τινὶ τούτων
what and if rightness or the-opposite to-rightness to-any of-these
προσγίγνηται; μῶν οὐκ ὀρθὴν μὲν δόξαν ἐροῦμεν, ἂν
be-added surely-not not right indeed opinion shall-we-say if
ὀρθότητα ἴσχῃ, ταὐτὸν δὲ ἡδονήν;
rightness it-have the-same and pleasure

PROT. ἀναγκαῖον.
necessary

e SOC. ἂν δέ γε ἁμαρτανόμενον τὸ δοξαζόμενον ᾖ, τὴν
if and at-least being-missed the opined be the
δόξαν τότε ἁμαρτάνουσάν γε οὐκ ὀρθὴν ὁμολογητέον
opinion then erring at-least not right must-be-agreed
οὐδ' ὀρθῶς δοξάζουσαν;
nor rightly opining

PROT. πῶς γὰρ ἄν;
how for —

SOC. τί δ', ἂν αὖ λύπην ἤ τινα ἡδονὴν περὶ τὸ ἐφ'
what and if again pain or some pleasure about the(-thing) over
ᾧ λυπεῖται ἢ τοὐναντίον ἁμαρτάνουσαν ἐφορῶμεν, ὀρθὴν
which it-feels-pain or the-opposite erring we-observe right
ἢ χρηστὴν ἤ τι τῶν καλῶν ὀνομάτων αὐτῇ προσθήσομεν;
or good or any of-the fine names to-it shall-we-add

PROT. ἀλλ' οὐχ οἷόν τε, εἴπερ ἁμαρτήσεταί γε ἡδονή.
but not possible — if-indeed will-err at-least pleasure

SOC. καὶ μὴν ἔοικέν γε ἡδονὴ πολλάκις οὐ μετὰ δόξης
and indeed it-seems at-least pleasure often not with opinion
ὀρθῆς ἀλλὰ μετὰ ψεύδους ἡμῖν γίγνεσθαι.
right but with falsehood to-us to-come-about

Opinion comes from memory and perception, as when a man sees something under a tree and says it is a man, or a shepherds' statue. The soul is then like a book: memory and perception write words in it, and a painter paints their images, of the future too, as hopes. The just, loved by the gods, mostly have true pictures, the wicked false ones, so there are false pleasures, imitations of the true. A pleasure, like an opinion, can be real and still rest on what is not, was not, and will not be, and Socrates holds that pleasures are bad only by being false.

PROT. πῶς γὰρ οὔ; καὶ τὴν μὲν δόξαν γε, ὦ Σώκρατες, 38
how for not and the indeed opinion at-least O Socrates
ἐν τῷ τοιούτῳ καὶ τότε λέγομεν ψευδῆ, τὴν δ' ἡδονὴν
in the such(-case) also then we-call false the and pleasure
αὐτὴν οὐδεὶς ἄν ποτε προσείποι ψευδῆ.
itself no-one — ever would-call false
SOC. ἀλλὰ προθύμως ἀμύνεις τῷ τῆς ἡδονῆς, ὦ Πρώταρχε,
but eagerly you-defend the of-the pleasure O Protarchus
λόγῳ τὰ νῦν.
argument the now
PROT. οὐδέν γε, ἀλλ' ἅπερ ἀκούω λέγω.
nothing at-least but what-very I-hear I-say
SOC. διαφέρει δ' ἡμῖν οὐδέν, ὦ ἑταῖρε, ἡ μετὰ δόξης
does-it-differ and for-us nothing O comrade the with opinion
τε ὀρθῆς καὶ μετ' ἐπιστήμης ἡδονὴ τῆς μετὰ τοῦ
both right and with knowledge pleasure from-the(-one) with the
ψεύδους καὶ ἀγνοίας πολλάκις ἑκάστοις ἡμῶν ἐγγιγνομένης;
falsehood and ignorance often in-each of-us coming-about
PROT. εἰκὸς γοῦν μὴ σμικρὸν διαφέρειν. b
(it-is)-likely at-any-rate not little to-differ
SOC. τῆς δὴ διαφορᾶς αὐτοῖν ἐπὶ θεωρίαν ἔλθωμεν.
of-the indeed difference of-the-two to viewing let-us-come

PROT. ἄγ᾽ ὅπῃ σοι φαίνεται.
lead where to-you it-appears

SOC. τῇδε δὴ ἄγω.
this-way indeed I-lead

PROT. πῇ;
how

SOC. δόξα, φαμέν, ἡμῖν ἔστι μὲν ψευδής, ἔστι δὲ καὶ
opinion we-say for-us there-is indeed false there-is and also
ἀληθής;
true

PROT. ἔστιν.
there-is

SOC. ἕπεται μὴν ταύταις, ὃ νυνδὴ ἐλέγομεν, ἡδονὴ καὶ
follows indeed these what just-now we-were-saying pleasure and
λύπη πολλάκις, ἀληθεῖ καὶ ψευδεῖ δόξῃ λέγω.
pain often true and false opinion I-mean

PROT. πάνυ γε.
certainly at-least

SOC. οὐκοῦν ἐκ μνήμης τε καὶ αἰσθήσεως δόξα ἡμῖν καὶ
therefore from memory both and perception opinion for-us and
τὸ διαδοξάζειν ἐγχειρεῖν γίγνεθ᾽ ἑκάστοτε;
the to-reach-an-opinion to-attempt comes-about each-time

c PROT. καὶ μάλα.
and very(-much)

SOC. ἆρ᾽ οὖν ἡμᾶς ὧδε περὶ ταῦτα ἀναγκαῖον ἡγούμεθ᾽
so then us thus about these-things necessary do-we-think
ἴσχειν;
to-be

PROT. πῶς;
how

SOC. πολλάκις ἰδόντι τινὶ πόρρωθεν μὴ πάνυ σαφῶς
often having-seen to-someone from-afar not very clearly
τὰ καθορώμενα συμβαίνειν βούλεσθαι κρίνειν φαίης
the(-things) being-seen to-happen to-wish to-judge would-you-say
ἂν ταῦθ' ἅπερ ὁρᾷ;
— these-things which-very he-sees
PROT. φαίην ἄν.
I-would-say —
SOC. οὐκοῦν τὸ μετὰ τοῦτο αὐτὸς αὑτὸν οὗτος
therefore the(-thing) after this himself himself this(-man)
ἀνέροιτ' ἂν ὧδε;
would-ask — thus
PROT. πῶς;
how
SOC. τί ποτ' ἄρ' ἔστι τὸ παρὰ τὴν πέτραν τοῦθ' d
what ever then is the(-thing) beside the rock this
ἑστάναι φανταζόμενον ὑπό τινι δένδρῳ; ταῦτ' εἰπεῖν
standing appearing under some tree these-things to-say
ἄν τις πρὸς ἑαυτὸν δοκεῖ σοι, τοιαῦτ' ἄττα κατιδὼν
— one to himself seems to-you such some-things having-seen
φαντασθέντα αὑτῷ ποτε;
having-appeared to-himself sometime
PROT. τί μήν;
what indeed
SOC. ἆρ' οὖν μετὰ ταῦτα ὁ τοιοῦτος ὡς ἀποκρινόμενος ἂν
so then after these-things the such(-man) as answering —
πρὸς αὑτὸν εἴποι τοῦτο, ὡς ἔστιν ἄνθρωπος, ἐπιτυχῶς
to himself would-say this that it-is a-man successfully
εἰπών;
having-spoken
PROT. καὶ πάνυ γε.
and certainly at-least

SOC. καὶ παρενεχθείς γ' αὖ τάχ' ἂν ὡς ἔστι τινῶν
and having-been-carried-astray at-least again perhaps — that it-is of-some
ποιμένων ἔργον τὸ καθορώμενον ἄγαλμα προσείποι.
shepherds work the seen image he-would-call(-it)

PROT. μάλα γε.
very at-least

e SOC. κἂν μέν τίς γ' αὐτῷ παρῇ, τά τε πρὸς
and-if indeed someone at-least to-him be-present the(-things) both to
αὑτὸν ῥηθέντα ἐντείνας εἰς φωνὴν πρὸς τὸν παρόντα
himself said straining into voice to the present(-one)
αὐτὰ ταῦτ' ἂν πάλιν φθέγξαιτο, καὶ λόγος δὴ
themselves these-things — again he-would-utter and statement indeed
γέγονεν οὕτως ὃ τότε δόξαν ἐκαλοῦμεν;
has-come-about so what then opinion we-were-calling

PROT. τί μήν;
what indeed

SOC. ἂν δ' ἄρα μόνος ᾖ τοῦτο ταὐτὸν πρὸς αὑτὸν
if and then alone he-be this same to himself
διανοούμενος, ἐνίοτε καὶ πλείω χρόνον ἔχων ἐν αὑτῷ
thinking sometimes also longer time holding in himself
πορεύεται.
he-goes-on

PROT. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. τί οὖν; ἆρα σοὶ φαίνεται τὸ περὶ τούτων
what then then to-you appears the(-thing) about these
ὅπερ ἐμοί;
which-very to-me

PROT. τὸ ποῖον;
the what-sort

SOC. δοκεῖ μοι τότε ἡμῶν ἡ ψυχὴ βιβλίῳ τινὶ προσεοικέναι.
it-seems to-me then of-us the soul to-a-book some to-resemble

PROT. πῶς;
how

SOC. ἡ μνήμη ταῖς αἰσθήσεσι συμπίπτουσα εἰς ταὐτὸν 39
the memory with-the perceptions coinciding into the-same
κἀκεῖνα ἃ περὶ ταῦτ' ἐστὶ τὰ παθήματα φαίνονταί μοι
and-those which about these are the experiences appear to-me
σχεδὸν οἷον γράφειν ἡμῶν ἐν ταῖς ψυχαῖς τότε λόγους·
nearly as to-write of-us in the souls then words
καὶ ὅταν μὲν ἀληθῆ γράφῃ, δόξα τε ἀληθὴς καὶ
and whenever indeed true-things it-writes opinion both true and
λόγοι ἀπ' αὐτοῦ συμβαίνουσιν ἀληθεῖς ἐν ἡμῖν γιγνόμενοι·
statements from it result true in us coming-about
ψευδῆ δ' ὅταν ὁ τοιοῦτος παρ' ἡμῖν γραμματεὺς
false-things but whenever the such among us scribe
γράψῃ, τἀναντία τοῖς ἀληθέσιν ἀπέβη.
writes the-opposite to-the true(-things) it-turned-out

PROT. πάνυ μὲν οὖν δοκεῖ μοι, καὶ ἀποδέχομαι τὰ ῥηθέντα b
certainly indeed then it-seems to-me and I-accept the things-said
οὕτως.
so

SOC. ἀποδέχου δὴ καὶ ἕτερον δημιουργὸν ἡμῶν ἐν ταῖς
accept indeed also another craftsman of-us in the
ψυχαῖς ἐν τῷ τότε χρόνῳ γιγνόμενον.
souls in the then time coming-about

PROT. τίνα;
whom

SOC. ζωγράφον, ὃς μετὰ τὸν γραμματιστὴν τῶν λεγομένων
a-painter who after the scribe of-the things-said
εἰκόνας ἐν τῇ ψυχῇ τούτων γράφει.
images in the soul of-these paints

PROT. πῶς δὴ τοῦτον αὖ καὶ πότε λέγομεν;
how indeed this(-one) again and when do-we-mean

c SOC. ὅταν ἀπ᾽ ὄψεως ἤ τινος ἄλλης αἰσθήσεως τὰ
whenever from sight or some other perception the(-things)
τότε δοξαζόμενα καὶ λεγόμενα ἀπαγαγών τις τὰς τῶν
then opined and said having-drawn-away one the of-the
δοξασθέντων καὶ λεχθέντων εἰκόνας ἐν αὑτῷ ὁρᾷ πως.
things-opined and things-said images in himself sees somehow
ἢ τοῦτο οὐκ ἔστι γιγνόμενον παρ᾽ ἡμῖν;
or this not is happening among us
PROT. σφόδρα μὲν οὖν.
strongly indeed then
SOC. οὐκοῦν αἱ μὲν τῶν ἀληθῶν δοξῶν καὶ λόγων εἰκόνες
therefore the indeed of-the true opinions and statements images
ἀληθεῖς, αἱ δὲ τῶν ψευδῶν ψευδεῖς;
true the(-ones) and of-the false false
PROT. παντάπασιν.
altogether
SOC. εἰ δὴ ταῦτ᾽ ὀρθῶς εἰρήκαμεν, ἔτι καὶ τόδε ἐπὶ
if indeed these-things rightly we-have-said further also this on
τούτοις σκεψώμεθα.
these let-us-examine
PROT. τὸ ποῖον;
the what-sort
SOC. εἰ περὶ μὲν τῶν ὄντων καὶ τῶν γεγονότων
whether about indeed the(-things) being and the(-things) having-come-to-be
ταῦτα ἡμῖν οὕτω πάσχειν ἀναγκαῖον, περὶ δὲ τῶν
these-things for-us so to-experience (is)-necessary about and the(-things)
μελλόντων οὔ;
going-to-be not
PROT. περὶ ἁπάντων μὲν οὖν τῶν χρόνων ὡσαύτως.
about all indeed then the times likewise

SOC. οὐκοῦν αἵ γε διὰ τῆς ψυχῆς αὐτῆς ἡδοναὶ d
therefore the(-ones) at-least through the soul itself pleasures
καὶ λῦπαι ἐλέχθησαν ἐν τοῖς πρόσθεν ὡς πρὸ τῶν διὰ
and pains were-said in the former(-things) that before the through
τοῦ σώματος ἡδονῶν καὶ λυπῶν προγίγνοιντ' ἄν, ὥσθ'
the body pleasures and pains would-come-before — so-that
ἡμῖν συμβαίνει τὸ προχαίρειν τε καὶ προλυπεῖσθαι
for-us it-happens the to-rejoice-beforehand both and to-feel-pain-beforehand
περὶ τὸν μέλλοντα χρόνον εἶναι γιγνόμενον;
about the going-to-be time to-be coming-about
PROT. ἀληθέστατα.
most-truly
SOC. πότερον οὖν τὰ γράμματά τε καὶ ζωγραφήματα, ἃ e
whether then the writings both and paintings which
σμικρῷ πρότερον ἐτίθεμεν ἐν ἡμῖν γίγνεσθαι, περὶ μὲν
a-little before we-set in us to-come-about about indeed
τὸν γεγονότα καὶ τὸν παρόντα χρόνον ἐστίν, περὶ δὲ
the past and the present time are about and
τὸν μέλλοντα οὐκ ἔστιν;
the going-to-be not are
PROT. σφόδρα γε.
strongly at-least
SOC. ἆρα σφόδρα λέγεις, ὅτι πάντ' ἐστὶ ταῦτα ἐλπίδες
then strongly do-you-say because all are these hopes
εἰς τὸν ἔπειτα χρόνον οὖσαι, ἡμεῖς δ' αὖ διὰ παντὸς
for the subsequent time being we and again through all
τοῦ βίου ἀεὶ γέμομεν ἐλπίδων;
the life always are-full of-hopes
PROT. παντάπασι μὲν οὖν.
altogether indeed then
SOC. ἄγε δή, πρὸς τοῖς νῦν εἰρημένοις καὶ τόδε ἀπόκριναι.
come indeed besides the now said also this answer

PROT. τὸ ποῖον;
the what-sort

SOC. δίκαιος ἀνὴρ καὶ εὐσεβὴς καὶ ἀγαθὸς πάντως ἆρ᾽ οὐ
a-just man and pious and good wholly so not
θεοφιλής ἐστιν;
god-loved is-he

PROT. τί μήν;
what indeed

40 SOC. τί δέ; ἄδικός τε καὶ παντάπασι κακὸς ἆρ᾽ οὐ
what and unjust both and altogether bad so not
τοὐναντίον ἐκείνῳ;
the-opposite to-that(-man)

PROT. πῶς δ᾽ οὔ;
how and not

SOC. πολλῶν μὴν ἐλπίδων, ὡς ἐλέγομεν ἄρτι, πᾶς
of-many indeed hopes as we-were-saying just-now every
ἄνθρωπος γέμει;
man is-full

PROT. τί δ᾽ οὔ;
what and not

SOC. λόγοι μήν εἰσιν ἐν ἑκάστοις ἡμῶν, ἃς ἐλπίδας
statements indeed are in each of-us which hopes
ὀνομάζομεν;
we-name

PROT. ναί.
yes

SOC. καὶ δὴ καὶ τὰ φαντάσματα ἐζωγραφημένα· καί
and indeed also the appearances painted and
τις ὁρᾷ πολλάκις ἑαυτῷ χρυσὸν γιγνόμενον ἄφθονον καὶ
one sees often for-himself gold coming-about abundant and

ἐπ᾽ αὐτῷ πολλὰς ἡδονάς· καὶ δὴ καὶ ἐνεζωγραφημένον
on it many pleasures and indeed also painted-in
αὐτὸν ἐφ᾽ αὑτῷ χαίροντα σφόδρα καθορᾷ.
himself over himself rejoicing strongly he-sees
PROT. τί δ᾽ οὔ; b
what and not
SOC. τούτων οὖν πότερα φῶμεν τοῖς μὲν ἀγαθοῖς ὡς
of-these then whether shall-we-say for-the indeed good as
τὸ πολὺ τὰ γεγραμμένα παρατίθεσθαι ἀληθῆ διὰ
the most-part the writings to-be-set-before(-them) true because-of
τὸ θεοφιλεῖς εἶναι, τοῖς δὲ κακοῖς ὡς αὖ τὸ πολὺ
the god-loved to-be for-the and bad as again the most-part
τοὐναντίον, ἢ μὴ φῶμεν;
the-opposite or not shall-we-say
PROT. καὶ μάλα φατέον.
and very one-must-say(-so)
SOC. οὐκοῦν καὶ τοῖς κακοῖς ἡδοναί γε οὐδὲν ἧττον
therefore also to-the bad pleasures at-least in-nothing less
πάρεισιν ἐζωγραφημέναι, ψευδεῖς δὲ αὗταί που.
are-present painted false but these surely
PROT. τί μήν;
what indeed
SOC. ψευδέσιν ἄρα ἡδοναῖς τὰ πολλὰ οἱ πονηροὶ χαίρουσιν, c
in-false then pleasures the most-part the wicked rejoice
οἱ δ᾽ ἀγαθοὶ τῶν ἀνθρώπων ἀληθέσιν.
the and good of-the men in-true(-ones)
PROT. ἀναγκαιότατα λέγεις.
most-necessarily you-speak

SOC. εἰσὶν δὴ κατὰ τοὺς νῦν λόγους ψευδεῖς ἐν ταῖς
there-are indeed according-to the now arguments false in the
τῶν ἀνθρώπων ψυχαῖς ἡδοναί, μεμιμημέναι μέντοι τὰς
True pleasures are those of beautiful colors, of figures straight and round, of pure sounds and smells, whose lack is unfelt and whose filling is pleasant and painless. Pleasures of learning are pure too, since forgetting brings no pain unless one reflects on the loss, and they belong to very few. Vehement pleasures lack measure and belong to the unlimited; pure ones have measure. Socrates then asks which is nearer the truth, the pure or the vehement, and proposes taking one pure kind to examine first.

51 PROT. κάλλιστ' εἶπες.
most-finely you-said

SOC. ἐγὼ δὴ πειράσομαι μεταβαλὼν σημαίνειν ἡμῖν
I indeed shall-try changing to-indicate to-us
αὐτάς. τοῖς γὰρ φάσκουσι λυπῶν εἶναι παῦλαν πάσας
them to-the(-men) for saying of-pains to-be cessation all
τὰς ἡδονὰς οὐ πάνυ πως πείθομαι, ἀλλ' ὅπερ εἶπον,
the pleasures not very somehow I-am-persuaded but which-very I-said
μάρτυσι καταχρῶμαι πρὸς τὸ τινὰς ἡδονὰς εἶναι δοκούσας,
as-witnesses I-use(-them) for the some pleasures to-be seeming
οὔσας δ' οὐδαμῶς, καὶ μεγάλας ἑτέρας τινὰς ἅμα
being but in-no-way and great other some at-the-same-time
καὶ πολλὰς φαντασθείσας, εἶναι δ' αὐτὰς συμπεφυρμένας
and many having-appeared to-be and them mixed-up
ὁμοῦ λύπαις τε καὶ ἀναπαύσεσιν ὀδυνῶν τῶν μεγίστων
together with-pains both and with-respites of-pangs the greatest
περί τε σώματος καὶ ψυχῆς ἀπορίας.
about both body and soul perplexities
PROT. ἀληθεῖς δ' αὖ τίνας, ὦ Σώκρατες, ὑπολαμβάνων b
true and again which O Socrates supposing
ὀρθῶς τις διανοοῖτ' ἄν;
rightly one would-think —
SOC. τὰς περί τε τὰ καλὰ λεγόμενα χρώματα καὶ περὶ
the(-ones) about both the fine called colors and about
τὰ σχήματα καὶ τῶν ὀσμῶν τὰς πλείστας καὶ τὰς τῶν
the figures and of-the smells the most and the(-ones) of-the
φθόγγων καὶ ὅσα τὰς ἐνδείας ἀναισθήτους ἔχοντα καὶ
sounds and as-many-as the wants imperceptible having and
ἀλύπους τὰς πληρώσεις αἰσθητὰς καὶ ἡδείας παραδίδωσιν.
painless the fillings perceptible and pleasant hand-over
PROT. πῶς δὴ ταῦτα, ὦ Σώκρατες, αὖ λέγομεν οὕτω;
how indeed these-things O Socrates again do-we-mean so

c SOC. πάνυ μὲν οὖν οὐκ εὐθὺς δῆλά ἐστιν ἃ λέγω,
certainly indeed then not at-once clear are what I-mean
πειρατέον μὴν δηλοῦν. σχημάτων τε γὰρ κάλλος οὐχ
one-must-try indeed to-show of-figures both for beauty not
ὅπερ ἂν ὑπολάβοιεν οἱ πολλοὶ πειρῶμαι νῦν λέγειν, ἢ
what-very — would-suppose the many I-try now to-mean or
ζῴων ἤ τινων ζωγραφημάτων, ἀλλ' εὐθύ τι λέγω,
of-animals or of-some paintings but straight something I-mean
φησὶν ὁ λόγος, καὶ περιφερὲς καὶ ἀπὸ τούτων δὴ τά
says the argument and round and from these indeed the(-things)
τε τοῖς τόρνοις γιγνόμενα ἐπίπεδά τε καὶ στερεὰ καὶ τὰ
both by-the lathes coming-to-be surfaces both and solids and the(-ones)
τοῖς κανόσι καὶ γωνίαις, εἴ μου μανθάνεις. ταῦτα γὰρ οὐκ
by-the rulers and angles if me you-understand these for not
εἶναι πρός τι καλὰ λέγω, καθάπερ ἄλλα, ἀλλ' ἀεὶ
to-be relative-to something fine I-say as other-things but always
καλὰ καθ' αὑτὰ πεφυκέναι καί τινας ἡδονὰς οἰκείας ἔχειν,
fine by themselves to-be-by-nature and some pleasures proper to-have
οὐδὲν ταῖς τῶν κνήσεων προσφερεῖς· καὶ χρώματα δὴ
in-nothing to-the of-the scratchings similar and colors indeed
τοῦτον τὸν τύπον ἔχοντα ἀλλ' ἆρα μανθάνομεν, ἢ πῶς;
this the type having but then do-we-understand or how
PROT. πειρῶμαι μέν, ὦ Σώκρατες· πειράθητι δὲ καὶ σὺ
I-try indeed O Socrates try and also you
σαφέστερον ἔτι λέγειν.
more-clearly still to-speak
SOC. λέγω δὴ ἠχὰς τῶν φθόγγων τὰς λείας καὶ λαμπράς,
I-mean indeed tones of-the sounds the smooth and clear
τὰς ἕν τι καθαρὸν ἰείσας μέλος, οὐ πρὸς
the(-ones) one some pure sending-forth melody not in-relation-to

ἕτερον καλὰς ἀλλ᾽ αὐτὰς καθ᾽ αὑτὰς εἶναι, καὶ τούτων
other fine but themselves by themselves to-be and of-these
συμφύτους ἡδονὰς ἑπομένας.
inborn pleasures following
PROT. ἔστι γὰρ οὖν καὶ τοῦτο.
it-is for indeed also this
SOC. τὸ δὲ περὶ τὰς ὀσμὰς ἧττον μὲν τούτων θεῖον γένος e
the and about the smells less indeed than-these divine kind
ἡδονῶν· τὸ δὲ μὴ συμμεμεῖχθαι ἐν αὐταῖς ἀναγκαίους
of-pleasures the and not to-have-been-mixed in them necessary
λύπας, καὶ ὅπῃ τοῦτο καὶ ἐν ὅτῳ τυγχάνει γεγονὸς
pains and wherever this and in whatever happens having-come-about
ἡμῖν, τοῦτ᾽ ἐκείνοις τίθημι ἀντίστροφον ἅπαν. ἀλλ᾽, εἰ
for-us this to-those I-set counterpart whole but if
κατανοεῖς, ταῦτα εἴδη δύο ὧν λέγομεν ἡδονῶν.
you-perceive these-things forms two of-what we-call pleasures
PROT. κατανοῶ.
I-perceive
SOC. ἔτι δὴ τοίνυν τούτοις προσθῶμεν τὰς περὶ τὰ 52
further indeed then to-these let-us-add the about the
μαθήματα ἡδονάς, εἰ ἄρα δοκοῦσιν ἡμῖν αὗται πείνας
learnings pleasures if then seem to-us these hungers
μὲν μὴ ἔχειν τοῦ μανθάνειν μηδὲ διὰ μαθημάτων πείνην
indeed not to-have of-the learning nor through learnings hunger
ἀλγηδόνας ἐξ ἀρχῆς γιγνομένας.
pains from (the)-beginning coming-about
PROT. ἀλλ᾽ οὕτω συνδοκεῖ.
but so it-seems-good-to(-me)-too

SOC. τί δέ; μαθημάτων πληρωθεῖσιν ἐὰν ὕστερον ἀποβολαὶ
what and with-learnings having-been-filled if later losses
διὰ τῆς λήθης γίγνωνται, καθορᾷς τινας ἐν αὐταῖς
through the forgetting come-about do-you-see any in them
ἀλγηδόνας;
pains

b PROT. οὔ τι φύσει γε, ἀλλ' ἔν τισι λογισμοῖς τοῦ
not at-all by-nature at-least but in some reckonings of-the
παθήματος, ὅταν τις στερηθεὶς λυπηθῇ διὰ τὴν χρείαν.
experience whenever one deprived is-pained because-of the need

SOC. καὶ μήν, ὦ μακάριε, νῦν γε ἡμεῖς αὐτὰ τὰ
and indeed O blessed(-sir) now at-least we themselves the
τῆς φύσεως μόνον παθήματα χωρὶς τοῦ λογισμοῦ
of-the nature only experiences apart-from the reckoning
διαπεραίνομεν.
are-going-through

PROT. ἀληθῆ τοίνυν λέγεις ὅτι χωρὶς λύπης ἡμῖν λήθη
true-things then you-say that apart-from pain to-us forgetting
γίγνεται ἑκάστοτε ἐν τοῖς μαθήμασιν.
comes-about each-time in the learnings

SOC. ταύτας τοίνυν τὰς τῶν μαθημάτων ἡδονὰς ἀμείκτους
these then the of-the learnings pleasures unmixed
τε εἶναι λύπαις ῥητέον καὶ οὐδαμῶς τῶν πολλῶν
both to-be with-pains must-be-said and in-no-way of-the many
ἀνθρώπων ἀλλὰ τῶν σφόδρα ὀλίγων.
men but of-the very few

PROT. πῶς γὰρ οὐ ῥητέον;
how for not must-it-be-said

c SOC. οὐκοῦν ὅτε μετρίως ἤδη διακεκρίμεθα χωρὶς τάς τε
therefore when moderately now we-have-distinguished apart the both
καθαρὰς ἡδονὰς καὶ τὰς σχεδὸν ἀκαθάρτους ὀρθῶς ἂν
pure pleasures and the nearly impure rightly —

λεχθείσας, προσθῶμεν τῷ λόγῳ ταῖς μὲν σφοδραῖς ἡδοναῖς
said let-us-add to-the argument to-the indeed vehement pleasures
ἀμετρίαν, ταῖς δὲ μὴ τοὐναντίον ἐμμετρίαν· καὶ τὰς
lack-of-measure to-the(-ones) and not the-opposite measuredness and the(-ones)
τὸ μέγα καὶ τὸ σφοδρὸν αὖ δεχομένας, καὶ πολλάκις καὶ
the great and the vehement again receiving and often and
ὀλιγάκις γιγνομένας τοιαύτας, τῆς τοῦ ἀπείρου γε ἐκείνου
seldom coming-about such(-ones) of-the of-the unlimited at-least that
καὶ ἧττον καὶ μᾶλλον διά τε σώματος καὶ ψυχῆς φερομένου
and less and more through both body and soul being-carried
θῶμεν αὐτὰς εἶναι γένους, τὰς δὲ μὴ τῶν ἐμμέτρων.
let-us-set them to-be of-kind the(-ones) and not of-the measured(-ones)

PROT. ὀρθότατα λέγεις, ὦ Σώκρατες.
most-rightly you-speak O Socrates

SOC. ἔτι τοίνυν πρὸς τούτοις μετὰ ταῦτα τόδε αὐτῶν
further then besides these after these-things this of-them
διαθεατέον.
must-be-viewed

PROT. τὸ ποῖον;
the what-sort

SOC. τί ποτε χρὴ φάναι πρὸς ἀλήθειαν εἶναι; τὸ
what ever one-must to-say relative-to truth to-be the
καθαρόν τε καὶ εἰλικρινὲς ἢ τὸ σφόδρα τε καὶ τὸ πολὺ
pure both and unmixed or the vehement both and the much
καὶ τὸ μέγα καὶ τὸ ἰταμόν;
and the great and the bold

PROT. τί ποτ' ἄρα, ὦ Σώκρατες, ἐρωτᾷς βουλόμενος;
what ever then O Socrates do-you-ask wishing

SOC. μηδέν, ὦ Πρώταρχε, ἐπιλείπειν ἐλέγχων ἡδονῆς τε e
nothing O Protarchus to-leave-out testing of-pleasure both
καὶ ἐπιστήμης, εἰ τὸ μὲν ἄρ' αὐτῶν ἑκατέρου
and of-knowledge whether the(-part) indeed then of-them of-each

καθαρόν ἐστι, τὸ δ᾽ οὐ καθαρόν, ἵνα καθαρὸν
pure is the(-part) and not pure so-that pure
ἑκάτερον ἰὸν εἰς τὴν κρίσιν ἐμοὶ καὶ σοὶ καὶ συνάπασι
each going into the judgment to-me and to-you and to-all
τοῖσδε ῥᾴω παρέχῃ τὴν κρίσιν.
these easier may-furnish the judgment

PROT. ὀρθότατα.
most-rightly

SOC. ἴθι δή, περὶ πάντων, ὅσα καθαρὰ γένη λέγομεν,
come indeed about all as-many-as pure kinds we-call
οὑτωσὶ διανοηθῶμεν· προελόμενοι πρῶτον αὐτῶν ἕν τι
thus let-us-think having-chosen first of-them one some
σκοπῶμεν.
let-us-examine

XX · PLEASURE AS COMING-TO-BE

A little pure white is whiter, truer, and finer than much mixed white, and so with pleasure. Subtle thinkers say pleasure is always becoming, never being; becoming is for the sake of being, and what is for the sake of something is not the good. So those who delight in curing hunger and thirst choose destruction and becoming, and it is absurd that the best of men should be called bad while he is in pain. Knowledge is tested next: take counting, measuring, and weighing from the crafts, and what remains is worthless.

53 PROT. τί οὖν προελώμεθα;
what then shall-we-choose

SOC. τὸ λευκὸν ἐν τοῖς πρῶτον, εἰ βούλει, θεασώμεθα
the white among the(-things) first if you-wish let-us-view
γένος.
kind

PROT. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. πῶς οὖν ἂν λευκοῦ καὶ τίς καθαρότης ἡμῖν εἴη;
how then — of-white and what purity for-us would-be

πότερα τὸ μέγιστόν τε καὶ πλεῖστον ἢ τὸ ἀκρατέστατον,
whether the greatest both and most or the most-unmixed

ἐν ᾧ χρώματος μηδεμία μοῖρα ἄλλη μηδενὸς ἐνείη;
in which of-color no portion other of-any might-be-in

PROT. δῆλον ὅτι τὸ μάλιστ' εἰλικρινὲς ὄν.
clear that the most unmixed being

SOC. ὀρθῶς. ἆρ' οὖν οὐ τοῦτο ἀληθέστατον, ὦ Πρώταρχε, b
rightly so then not this truest O Protarchus

καὶ ἅμα δὴ κάλλιστον τῶν λευκῶν πάντων
and at-the-same-time indeed finest of-the whites all

θήσομεν, ἀλλ' οὐ τὸ πλεῖστον οὐδὲ τὸ μέγιστον;
shall-we-set but not the most nor the greatest

PROT. ὀρθότατά γε.
most-rightly at-least

SOC. σμικρὸν ἄρα καθαρὸν λευκὸν μεμειγμένου πολλοῦ
small then pure white than-mixed much

λευκοῦ λευκότερον ἅμα καὶ κάλλιον καὶ ἀληθέστερον
white whiter at-the-same-time and finer and truer

ἐὰν φῶμεν γίγνεσθαι, παντάπασιν ἐροῦμεν ὀρθῶς.
if we-say to-become altogether we-shall-speak rightly

PROT. ὀρθότατα μὲν οὖν.
most-rightly indeed then

SOC. τί οὖν; οὐ δήπου πολλῶν δεησόμεθα παραδειγμάτων c
what then not surely many we-shall-need examples

τοιούτων ἐπὶ τὸν τῆς ἡδονῆς πέρι λόγον, ἀλλ' ἀρκεῖ
such for the of-the pleasure about argument but it-suffices

νοεῖν ἡμῖν αὐτόθεν ὡς ἄρα καὶ σύμπασα ἡδονὴ σμικρὰ
to-understand for-us from-here that then also all pleasure small

μεγάλης καὶ ὀλίγη πολλῆς, καθαρὰ λύπης, ἡδίων καὶ
than-great and little than-much pure of-pain more-pleasant and
ἀληθεστέρα καὶ καλλίων γίγνοιτ' ἄν.
truer and finer would-become —

PROT. σφόδρα μὲν οὖν, καὶ τό γε παράδειγμα ἱκανόν.
strongly indeed then and the at-least example sufficient

SOC. τί δὲ τὸ τοιόνδε; ἆρα περὶ ἡδονῆς οὐκ ἀκηκόαμεν
what and the such then about pleasure not have-we-heard
ὡς ἀεὶ γένεσίς ἐστιν, οὐσία δὲ οὐκ ἔστι τὸ παράπαν
that always generation it-is being but not is — altogether
ἡδονῆς; κομψοὶ γὰρ δή τινες αὖ τοῦτον τὸν λόγον
of-pleasure subtle for indeed some again this the argument
ἐπιχειροῦσι μηνύειν ἡμῖν, οἷς δεῖ χάριν ἔχειν.
try to-reveal to-us to-whom one-must gratitude to-have

PROT. τί δή;
why indeed

d SOC. διαπερανοῦμαί σοι τοῦτ' αὐτὸ ἐπανερωτῶν, ὦ
I-shall-go-through for-you this itself asking-in-turn O
Πρώταρχε φίλε.
Protarchus dear

PROT. λέγε καὶ ἐρώτα μόνον.
speak and ask only

SOC. ἐστὸν δή τινε δύο, τὸ μὲν αὐτὸ καθ' αὑτό,
there-are-two indeed some-two two the(-one) indeed itself by itself
τὸ δ' ἀεὶ ἐφιέμενον ἄλλου.
the(-other) and always aiming-at another

PROT. πῶς τούτω καὶ τίνε λέγεις;
how these-two and which-two do-you-mean

SOC. τὸ μὲν σεμνότατον ἀεὶ πεφυκός, τὸ δ'
the(-one) indeed most-august always being-by-nature the(-other) and
ἐλλιπὲς ἐκείνου.
deficient of-that

PROT. λέγ᾽ ἔτι σαφέστερον.
say still more-clearly

SOC. παιδικά που καλὰ καὶ ἀγαθὰ τεθεωρήκαμεν ἅμα
darlings surely fine and good we-have-observed at-the-same-time
καὶ ἐραστὰς ἀνδρείους αὐτῶν.
and lovers brave of-them

PROT. σφόδρα γε.
strongly at-least

SOC. τούτοις τοίνυν ἐοικότα δυοῖν οὖσι δύο ἄλλα ζήτει e
to-these then like two being two others seek
κατὰ πάνθ᾽ ὅσα λέγομεν εἶναι.
in all as-many-as we-say to-be

PROT. τὸ τρίτον ἔτ᾽ ἐρῶ; λέγε σαφέστερον, ὦ Σώκρατες,
the third(-time) still I-shall-say say more-clearly O Socrates
ὅτι λέγεις.
what you-mean

SOC. οὐδέν τι ποικίλον, ὦ Πρώταρχε· ἀλλ᾽ ὁ λόγος
nothing — intricate O Protarchus but the argument
ἐρεσχηλεῖ νῷν, λέγει δ᾽ ὅτι τὸ μὲν ἕνεκά του
teases us-two it-says and that the(-one) indeed for-the-sake-of some(-thing)
τῶν ὄντων ἔστ᾽ ἀεί, τὸ δ᾽ οὗ χάριν ἑκάστοτε
of-the beings is always the(-other) and of-which for-the-sake-of each-time
τὸ τινὸς ἕνεκα γιγνόμενον ἀεὶ γίγνεται.
the(-thing) of-something for-the-sake-of coming-to-be always comes-to-be

PROT. μόγις ἔμαθον διὰ τὸ πολλάκις λεχθῆναι.
with-difficulty I-understood because-of the often to-have-been-said

SOC. τάχα δ᾽ ἴσως, ὦ παῖ, μᾶλλον μαθησόμεθα προελθόντος 54
perhaps and perhaps O boy more we-shall-understand having-gone-on
τοῦ λόγου.
the argument

PROT. τί γὰρ οὔ;
what for not

SOC. δύο δὴ τάδε ἕτερα λάβωμεν.
two indeed these other let-us-take

PROT. ποῖα;
what-sort

SOC. ἓν μέν τι γένεσιν πάντων, τὴν δὲ οὐσίαν
one indeed some(-thing) generation of-all the and being
ἕτερον ἕν.
other one

PROT. δύο ἀποδέχομαί σου ταῦτα, οὐσίαν καὶ γένεσιν.
two I-accept from-you these being and generation

SOC. ὀρθότατα. πότερον οὖν τούτων ἕνεκα ποτέρου,
most-rightly whether then of-these for-the-sake-of which-of-the-two
τὴν γένεσιν οὐσίας ἕνεκα φῶμεν ἢ τὴν οὐσίαν εἶναι
the generation of-being for-the-sake-of shall-we-say or the being to-be
γενέσεως ἕνεκα;
of-generation for-the-sake-of

PROT. τοῦτο ὃ προσαγορεύεται οὐσία εἰ γενέσεως
this which is-called being whether of-generation
ἕνεκα τοῦτ' ἔστιν ὅπερ ἐστί, νῦν πυνθάνῃ;
for-the-sake-of this is what-very it-is now do-you-inquire

SOC. φαίνομαι.
I-appear(-so)

b PROT. πρὸς θεῶν ἆρ' ἐπανερωτᾷς με τοιόνδε τι; λέγ',
by gods so do-you-ask me such something say
ὦ Πρώταρχε, μοί, πότερα πλοίων ναυπηγίαν ἕνεκα
O Protarchus to-me whether of-ships shipbuilding for-the-sake-of
φῂς γίγνεσθαι μᾶλλον ἢ πλοῖα ἕνεκα ναυπηγίας,
do-you-say to-come-about rather or ships for-the-sake-of shipbuilding
καὶ πάνθ' ὁπόσα τοιαῦτ' ἐστίν;
and all as-many-as such are

SOC. λέγω τοῦτ' αὐτό, ὦ Πρώταρχε.
I-mean this itself O Protarchus

PROT. τί οὖν οὐκ αὐτὸς ἀπεκρίνω σαυτῷ, ὦ Σώκρατες;
why then not yourself did-you-answer yourself O Socrates
SOC. οὐδὲν ὅτι οὔ· σὺ μέντοι τοῦ λόγου συμμέτεχε.
nothing why not you however in-the argument share
PROT. πάνυ μὲν οὖν.
certainly indeed then
SOC. φημὶ δὴ γενέσεως μὲν ἕνεκα φάρμακά τε καὶ c
I-say indeed of-generation indeed for-the-sake-of drugs both and
πάντα ὄργανα καὶ πᾶσαν ὕλην παρατίθεσθαι πᾶσιν,
all tools and all material to-be-applied to-all
ἑκάστην δὲ γένεσιν ἄλλην ἄλλης οὐσίας τινὸς ἑκάστης
each and generation other of-other being some each
ἕνεκα γίγνεσθαι, σύμπασαν δὲ γένεσιν οὐσίας ἕνεκα
for-the-sake-of to-come-about all and generation of-being for-the-sake-of
γίγνεσθαι συμπάσης.
to-come-about whole
PROT. σαφέστατα μὲν οὖν.
most-clearly indeed then
SOC. οὐκοῦν ἡδονή γε, εἴπερ γένεσίς ἐστιν, ἕνεκά
therefore pleasure at-least if-indeed generation it-is for-the-sake-of
τινος οὐσίας ἐξ ἀνάγκης γίγνοιτ' ἄν.
some being out-of necessity would-come-about —
PROT. τί μήν;
what indeed
SOC. τό γε μὴν οὗ ἕνεκα τὸ ἕνεκά του
the at-least indeed of-which for-the-sake-of the(-thing) for-the-sake-of something
γιγνόμενον ἀεὶ γίγνοιτ' ἄν, ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ
coming-to-be always would-come-about — in the of-the good portion
ἐκεῖνό ἐστι· τὸ δὲ τινὸς ἕνεκα γιγνόμενον εἰς
that is the(-thing) and of-something for-the-sake-of coming-to-be into
ἄλλην, ὦ ἄριστε, μοῖραν θετέον.
another O best portion must-be-set

PROT. ἀναγκαιότατον.

most-necessary

d SOC. ἆρ᾽ οὖν ἡδονή γε εἴπερ γένεσίς ἐστιν, εἰς ἄλλην ἢ

so then pleasure at-least if-indeed generation it-is into other than

τὴν τοῦ ἀγαθοῦ μοῖραν αὐτὴν τιθέντες ὀρθῶς θήσομεν;

the of-the good portion it setting rightly shall-we-set(-it)

PROT. ὀρθότατα μὲν οὖν.

most-rightly indeed then

SOC. οὐκοῦν ὅπερ ἀρχόμενος εἶπον τούτου τοῦ λόγου,

therefore which-very beginning I-said of-this the argument

τῷ μηνύσαντι τῆς ἡδονῆς πέρι τὸ γένεσιν μέν, οὐσίαν δὲ

to-the(-one) having-revealed of-the pleasure about the generation indeed being and

μηδ᾽ ἡντινοῦν αὐτῆς εἶναι, χάριν ἔχειν δεῖ· δῆλον γὰρ ὅτι

not-even any-whatever of-it to-be gratitude to-have one-must clear for that

οὗτος τῶν φασκόντων ἡδονὴν ἀγαθὸν εἶναι καταγελᾷ.

this(-man) of-the(-men) asserting pleasure good to-be laughs-at

PROT. σφόδρα γε.

strongly at-least

e SOC. καὶ μὴν αὐτὸς οὗτος ἑκάστοτε καὶ τῶν ἐν ταῖς

and indeed the-same this(-man) each-time also the(-men) in the

γενέσεσιν ἀποτελουμένων καταγελάσεται.

generations being-accomplished will-laugh-at

PROT. πῶς δὴ καὶ ποίων λέγεις;

how indeed and what-sort do-you-mean

SOC. τῶν ὅσοι ἐξιώμενοι ἢ πείνην ἢ δίψαν ἤ

of-the(-men) as-many-as healing either hunger or thirst or

τι τῶν τοιούτων, ὅσα γένεσις ἐξιᾶται, χαίρουσι

something of-the such as-many-as generation heals rejoice

διὰ τὴν γένεσιν ἅτε ἡδονῆς οὔσης αὐτῆς, καί φασι

because-of the generation as pleasure being it and they-say

ζῆν οὐκ ἂν δέξασθαι μὴ διψῶντές τε καὶ πεινῶντες

to-live not — to-accept not thirsting both and hungering

καὶ τἆλλα ἅ τις ἂν εἴποι πάντα τὰ ἑπόμενα τοῖς
and the-others which one — might-say all the following to-the
τοιούτοις παθήμασι μὴ πάσχοντες.
such experiences not suffering
PROT. ἐοίκασι γοῦν. 55
they-seem at-any-rate
SOC. οὐκοῦν τῷ γίγνεσθαί γε τοὐναντίον ἅπαντες τὸ
therefore to-the coming-to-be at-least the-opposite all the
φθείρεσθαι φαῖμεν ἄν.
being-destroyed we-would-call —
PROT. ἀναγκαῖον.
necessary
SOC. τὴν δὴ φθορὰν καὶ γένεσιν αἱροῖτ' ἄν τις τοῦθ'
the indeed destruction and generation would-choose — one this
αἱρούμενος, ἀλλ' οὐ τὸν τρίτον ἐκεῖνον βίον, τὸν ἐν
choosing but not the third that life the(-one) in
ᾧ μήτε χαίρειν μήτε λυπεῖσθαι, φρονεῖν δ' ἦν ὡς
which neither to-rejoice nor to-feel-pain to-be-prudent but it-was as
οἷόν τε καθαρώτατα.
possible — most-purely
PROT. πολλή τις, ὡς ἔοικεν, ὦ Σώκρατες, ἀλογία συμβαίνει
much some as it-seems O Socrates absurdity happens
γίγνεσθαι, ἐάν τις τὴν ἡδονὴν ὡς ἀγαθὸν ἡμῖν τιθῆται.
to-come-about if one the pleasure as good for-us sets
SOC. πολλή, ἐπεὶ καὶ τῇδε ἔτι λέγωμεν.
much since also in-this-way still let-us-say
PROT. πῇ;
how
SOC. πῶς οὐκ ἄλογόν ἐστι μηδὲν ἀγαθὸν εἶναι μηδὲ καλὸν μήτε b
how not absurd is-it nothing good to-be nor fine either
ἐν σώμασι μήτ' ἐν πολλοῖς ἄλλοις πλὴν ἐν ψυχῇ, καὶ ἐνταῦθα
in bodies or in many others except in soul and there

ἡδονὴν μόνον, ἀνδρείαν δὲ ἢ σωφροσύνην ἢ νοῦν ἤ τι
pleasure only courage and or moderation or mind or anything
τῶν ἄλλων ὅσα ἀγαθὰ εἴληχε ψυχή, μηδὲν τοιοῦτον
of-the others as-many-as good-things has-obtained soul nothing such
εἶναι; πρὸς τούτοις δὲ ἔτι τὸν μὴ χαίροντα, ἀλγοῦντα δέ,
to-be besides these and still the(-one) not rejoicing being-in-pain but
ἀναγκάζεσθαι φάναι κακὸν εἶναι τότε ὅταν ἀλγῇ, κἂν ᾖ
to-be-compelled to-say bad to-be then whenever he-is-in-pain even-if he-be
ἄριστος πάντων, καὶ τὸν χαίροντα αὖ, ὅσῳ μᾶλλον
best of-all and the(-one) rejoicing again by-as-much-as more
χαίρει, τότε ὅταν χαίρῃ, τοσούτῳ διαφέρειν πρὸς ἀρετήν.
he-rejoices then whenever he-rejoices by-so-much to-excel in virtue

PROT. πάντ' ἐστὶ ταῦτα, ὦ Σώκρατες, ὡς δυνατὸν
all are these-things O Socrates as possible
ἀλογώτατα.
most-absurd

SOC. μὴ τοίνυν ἡδονῆς μὲν πάντως ἐξέτασιν πᾶσαν
not then of-pleasure indeed wholly examination all
ἐπιχειρῶμεν ποιήσασθαι, νοῦ δὲ καὶ ἐπιστήμης οἷον
let-us-attempt to-make of-mind but and of-knowledge as-if
φειδόμενοι σφόδρα φανῶμεν· γενναίως δέ, εἴ πῄ τι
sparing(-them) strongly let-us-appear nobly but if somewhere anything
σαθρὸν ἔχει, πᾶν περικρούωμεν, ὡς ὅτι καθαρώτατόν
unsound it-has all let-us-knock-round so-that what most-pure
ἐστ' αὐτῶν φύσει, τοῦτο κατιδόντες εἰς τὴν κρίσιν
is of-them by-nature this having-observed for the judgment
χρώμεθα τὴν κοινὴν τοῖς τε τούτων καὶ τοῖς τῆς ἡδονῆς
we-may-use the common the both of-these and the of-the pleasure
μέρεσιν ἀληθεστάτοις.
parts truest

PROT. ὀρθῶς.
rightly

SOC. οὐκοῦν ἡμῖν τὸ μὲν οἶμαι δημιουργικόν ἐστι τῆς d
therefore to-us the(-part) indeed I-think productive is of-the
περὶ τὰ μαθήματα ἐπιστήμης, τὸ δὲ περὶ παιδείαν
about the learnings knowledge the(-part) and about education
καὶ τροφήν. ἢ πῶς;
and nurture or how
PROT. οὕτως.
so
SOC. ἐν δὴ ταῖς χειροτεχνικαῖς διανοηθῶμεν πρῶτα εἰ
in indeed the manual(-arts) let-us-consider first whether
τὸ μὲν ἐπιστήμης αὐτῶν μᾶλλον ἐχόμενον, τὸ
the(-part) indeed of-knowledge in-them more clinging-to the(-part)
δ' ἧττον ἔνι, καὶ δεῖ τὰ μὲν ὡς καθαρώτατα
and less is-in and one-must the(-ones) indeed as most-pure
νομίζειν, τὰ δ' ὡς ἀκαθαρτότερα.
to-believe the(-ones) and as more-impure
PROT. οὐκοῦν χρή.
therefore one-must
SOC. τὰς τοίνυν ἡγεμονικὰς διαληπτέον ἑκάστων αὐτῶν
the then leading must-be-separated of-each of-them
χωρίς;
apart
PROT. ποίας καὶ πῶς;
what-sort and how
SOC. οἷον πασῶν που τεχνῶν ἄν τις ἀριθμητικὴν χωρίζῃ e
as from-all surely arts if one arithmetic should-separate
καὶ μετρητικὴν καὶ στατικήν, ὡς ἔπος εἰπεῖν φαῦλον τὸ
and measurement and weighing so a-word to-say worthless the
καταλειπόμενον ἑκάστης ἂν γίγνοιτο.
remainder of-each — would-become
PROT. φαῦλον μὲν δή.
worthless indeed indeed

Of the arts, music works by guesswork and practice, while carpentry, with rule, lathe, and compass, is more exact. Arithmetic and measurement are double: the many count unequal units, the philosophers equal ones. Most exact of all is the power of dialectic. Gorgias held persuasion the greatest art, but the question is not which is most useful, but which sees the clearest and truest.

56 SOC. τὸ γοῦν μετὰ ταῦτ' εἰκάζειν λείποιτ' ἂν καὶ τὰς
the(-thing) at-any-rate after these-things to-guess would-be-left — and the
αἰσθήσεις καταμελετᾶν ἐμπειρίᾳ καί τινι τριβῇ, ταῖς τῆς
perceptions to-train by-experience and by-some practice with-the of-the
στοχαστικῆς προσχρωμένους δυνάμεσιν ἃς πολλοὶ τέχνας
conjectural(-art) using powers which many arts
ἐπονομάζουσι, μελέτῃ καὶ πόνῳ τὴν ῥώμην ἀπειργασμένας.
name by-practice and toil the strength having-worked-out

PROT. ἀναγκαιότατα λέγεις.
most-necessarily you-speak

SOC. οὐκοῦν μεστὴ μέν που μουσικὴ πρῶτον, τὸ σύμφωνον
therefore full indeed surely music first the concord
ἁρμόττουσα οὐ μέτρῳ ἀλλὰ μελέτης στοχασμῷ, καὶ
fitting not by-measure but of-practice by-conjecture and
σύμπασα αὐτῆς αὐλητική, τὸ μέτρον ἑκάστης χορδῆς τῷ
all of-it flute-playing the measure of-each string by-the
στοχάζεσθαι φερομένης θηρεύουσα, ὥστε πολὺ μεμειγμένον
conjecturing being-carried hunting so-that much mixed
ἔχειν τὸ μὴ σαφές, σμικρὸν δὲ τὸ βέβαιον.
to-have the not clear little and the firm

PROT. ἀληθέστατα.
most-truly

SOC. καὶ μὴν ἰατρικήν τε καὶ γεωργίαν καὶ κυβερνητικὴν b
and indeed medicine both and farming and steersmanship
καὶ στρατηγικὴν ὡσαύτως εὑρήσομεν ἐχούσας.
and generalship likewise we-shall-find holding(-so)
PROT. καὶ πάνυ γε.
and certainly at-least
SOC. τεκτονικὴν δέ γε οἶμαι πλείστοις μέτροις
carpentry and at-least I-think with-very-many measures
τε καὶ ὀργάνοις χρωμένην τὰ πολλὴν ἀκρίβειαν
both and tools using the(-things) much precision
αὐτῇ πορίζοντα τεχνικωτέραν τῶν πολλῶν ἐπιστημῶν
to-it furnishing more-artful than-the many knowledges
παρέχεται.
renders(-it)
PROT. πῇ;
how
SOC. κατά τε ναυπηγίαν καὶ κατ᾽ οἰκοδομίαν καὶ ἐν c
in both shipbuilding and in house-building and in
πολλοῖς ἄλλοις τῆς ξυλουργικῆς. κανόνι γὰρ οἶμαι καὶ
many others of-the woodworking(-art) with-a-ruler for I-think and
τόρνῳ χρῆται καὶ διαβήτῃ καὶ στάθμῃ καί τινι
with-a-lathe it-uses and with-a-compass and with-a-plumb-line and with-some
προσαγωγίῳ κεκομψευμένῳ.
adjuster ingeniously-made
PROT. καὶ πάνυ γε, ὦ Σώκρατες, ὀρθῶς λέγεις.
and certainly at-least O Socrates rightly you-speak
SOC. θῶμεν τοίνυν διχῇ τὰς λεγομένας τέχνας, τὰς μὲν
let-us-set then in-two the so-called arts the(-ones) indeed
μουσικῇ συνεπομένας ἐν τοῖς ἔργοις ἐλάττονος ἀκριβείας
music following in the works of-less precision
μετισχούσας, τὰς δὲ τεκτονικῇ πλείονος.
partaking the(-ones) and carpentry of-more

PROT. κείσθω.

let-it-lie

SOC. τούτων δὲ ταύτας ἀκριβεστάτας εἶναι τέχνας, ἃς

of-these and these most-precise to-be arts which

νυνδὴ πρώτας εἴπομεν.

just-now first we-mentioned

PROT. ἀριθμητικὴν φαίνῃ μοι λέγειν καὶ ὅσας μετὰ

arithmetic you-appear to-me to-mean and as-many-as with

ταύτης τέχνας ἐφθέγξω νυνδή.

this arts you-uttered just-now

d SOC. πάνυ μὲν οὖν. ἀλλ', ὦ Πρώταρχε, ἆρ' οὐ διττὰς

certainly indeed then but O Protarchus so not double

αὖ καὶ ταύτας λεκτέον; ἢ πῶς;

again also these must-be-called or how

PROT. ποίας δὴ λέγεις;

what-sort indeed do-you-mean

SOC. ἀριθμητικὴν πρῶτον ἆρ' οὐκ ἄλλην μέν τινα

arithmetic first so not other indeed some

τὴν τῶν πολλῶν φατέον, ἄλλην δ' αὖ τὴν τῶν

the(-one) of-the many must-one-call other and again the(-one) of-the

φιλοσοφούντων;

philosophizing(-men)

PROT. πῇ ποτε διορισάμενος οὖν ἄλλην, τὴν δὲ ἄλλην

how ever having-distinguished then other the(-one) and other

θείη τις ἂν ἀριθμητικήν;

would-set one — arithmetic

e SOC. οὐ σμικρὸς ὅρος, ὦ Πρώταρχε. οἱ μὲν γάρ που

not small boundary O Protarchus the(-ones) indeed for surely

μονάδας ἀνίσους καταριθμοῦνται τῶν περὶ ἀριθμόν,

units unequal count of-the(-things) about number

οἷον στρατόπεδα δύο καὶ βοῦς δύο καὶ δύο τὰ σμικρότατα

as camps two and oxen two and two the smallest

ἢ καὶ τὰ πάντων μέγιστα· οἱ δ' οὐκ ἄν ποτε αὐτοῖς
or also the of-all greatest the(-ones) and not — ever with-them
συνακολουθήσειαν, εἰ μὴ μονάδα μονάδος ἑκάστης τῶν
would-follow if not unit from-unit each of-the
μυρίων μηδεμίαν ἄλλην ἄλλης διαφέρουσάν τις θήσει.
ten-thousand none other from-other differing one shall-set

PROT. καὶ μάλα εὖ λέγεις οὐ σμικρὰν διαφορὰν τῶν
and very well you-speak not small difference of-the(-men)
περὶ ἀριθμὸν τευταζόντων, ὥστε λόγον ἔχειν δύ' αὐτὰς
about number busying so-that reason to-have two them
εἶναι.
to-be

SOC. τί δέ; λογιστικὴ καὶ μετρητικὴ ἡ κατὰ τεκτονικὴν 57
what and calculation and measurement the according-to carpentry
καὶ κατ' ἐμπορικὴν τῆς κατὰ φιλοσοφίαν
and according-to trade from-the according-to philosophy
γεωμετρίας τε καὶ λογισμῶν καταμελετωμένων — πότερον
geometry both and calculations being-practiced whether
ὡς μία ἑκατέρα λεκτέον ἢ δύο τιθῶμεν;
as one each must-be-called or two shall-we-set

PROT. τῇ πρόσθεν ἑπόμενος ἔγωγ' ἂν δύο κατὰ
the(-argument) before following I-at-least — two according-to
τὴν ἐμὴν ψῆφον τιθείην ἑκατέραν τούτων.
the my vote would-set each of-these

SOC. ὀρθῶς. οὗ δ' ἕνεκα ταῦτα προηνεγκάμεθα εἰς
rightly of-what and for-the-sake-of these-things we-brought-forward into
τὸ μέσον, ἆρα ἐννοεῖς;
the middle then do-you-perceive

PROT. ἴσως, ἀλλὰ σὲ βουλοίμην ἂν ἀποφήνασθαι τὸ νῦν
perhaps but you I-would-wish — to-declare the now
ἐρωτώμενον.
being-asked

b SOC. δοκεῖ τοίνυν ἔμοιγε οὗτος ὁ λόγος, οὐχ ἧττον ἢ ὅτε
seems then to-me-at-least this the argument not less than when
λέγειν αὐτὸν ἠρχόμεθα, ταῖς ἡδοναῖς ζητῶν ἀντίστροφον
to-say it we-were-beginning to-the pleasures seeking counterpart
ἐνταῦθα προβεβληκέναι σκοπῶν ἆρά ἐστί τις ἑτέρας ἄλλη
here to-have-put-forward examining whether is some of-other other
καθαρωτέρα ἐπιστήμης ἐπιστήμη, καθάπερ ἡδονῆς ἡδονή.
purer of-knowledge knowledge as of-pleasure pleasure
PROT. καὶ μάλα σαφὲς τοῦτό γε, ὅτι ταῦθ' ἕνεκα
and very clear this at-least that these-things for-the-sake-of
τούτων ἐπικεχείρηκεν.
these it-has-attempted
SOC. τί οὖν; ἆρ' οὐκ ἐν μὲν τοῖς ἔμπροσθεν ἐπ'
what then so not in indeed the(-things) before in
ἄλλοις ἄλλην τέχνην οὖσαν ἀνηυρήκειν σαφεστέραν καὶ
others other art being it-had-found clearer and
ἀσαφεστέραν ἄλλην ἄλλης;
less-clear other than-other
PROT. πάνυ μὲν οὖν.
certainly indeed then
c SOC. ἐν τούτοις δὲ ἆρ' οὔ τινα τέχνην ὡς ὁμώνυμον
in these and so not some art as same-named
φθεγξάμενος, εἰς δόξαν καταστήσας ὡς μιᾶς, πάλιν ὡς
having-uttered into opinion having-set as of-one again as
δυοῖν ἐπανερωτᾷ τούτοιν αὐτοῖν τὸ σαφὲς καὶ τὸ καθαρὸν
of-two it-asks-again of-these-two themselves the clear and the pure
περὶ ταῦτα πότερον ἡ τῶν φιλοσοφούντων ἢ μὴ
about these-things whether the(-one) of-the philosophizing or not
φιλοσοφούντων ἀκριβέστερον ἔχει;
philosophizing more-precisely holds
PROT. καὶ μάλα δοκεῖ μοι τοῦτο διερωτᾶν.
and very it-seems to-me this to-ask

SOC. τίν᾽ οὖν, ὦ Πρώταρχε, αὐτῷ δίδομεν ἀπόκρισιν;
what then O Protarchus to-it do-we-give answer
PROT. ὦ Σώκρατες, εἰς θαυμαστὸν διαφορᾶς μέγεθος εἰς
O Socrates into wondrous of-difference magnitude into
σαφήνειαν προεληλύθαμεν ἐπιστημῶν.
clarity we-have-advanced of-knowledges
SOC. οὐκοῦν ἀποκρινούμεθα ῥᾷον;
therefore we-shall-answer more-easily
PROT. τί μήν; καὶ εἰρήσθω γε ὅτι πολὺ μὲν αὗται τῶν d
what indeed and let-it-be-said at-least that much indeed these than-the
ἄλλων τεχνῶν διαφέρουσι, τούτων δ᾽ αὐτῶν αἱ περὶ
other arts differ of-these and themselves the(-ones) about
τὴν τῶν ὄντως φιλοσοφούντων ὁρμὴν ἀμήχανον ἀκριβείᾳ
the of-the really philosophizing impulse inconceivably in-precision
καὶ ἀληθείᾳ περὶ μέτρα τε καὶ ἀριθμοὺς διαφέρουσιν.
and in-truth about measures both and numbers differ
SOC. ἔστω ταῦτα κατὰ σέ, καὶ σοὶ δὴ πιστεύοντες
let-it-be these-things according-to you and to-you indeed trusting
θαρροῦντες ἀποκρινόμεθα τοῖς δεινοῖς περὶ λόγων
confidently we-answer to-the clever(-men) about arguments
ὁλκήν —
dragging
PROT. τὸ ποῖον;
the what-sort
SOC. ὡς εἰσὶ δύο ἀριθμητικαὶ καὶ δύο μετρητικαὶ καὶ
that there-are two arithmetics and two measurements and
ταύταις ἄλλαι τοιαῦται συνεπόμεναι συχναί, τὴν διδυμότητα
these other such following numerous the twinness
ἔχουσαι ταύτην, ὀνόματος δὲ ἑνὸς κεκοινωμέναι.
having this of-name but one sharing

e PROT. διδῶμεν τύχῃ ἀγαθῇ τούτοις οὓς φῂς δεινοὺς
let-us-give with-fortune good to-these whom you-say clever
εἶναι ταύτην τὴν ἀπόκρισιν, ὦ Σώκρατες.
to-be this the answer O Socrates
SOC. ταύτας οὖν λέγομεν ἐπιστήμας ἀκριβεῖς μάλιστ' εἶναι;
these then we-call knowledges precise most to-be
PROT. πάνυ μὲν οὖν.
certainly indeed then
SOC. ἀλλ' ἡμᾶς, ὦ Πρώταρχε, ἀναίνοιτ' ἂν ἡ τοῦ
but us O Protarchus would-disown — the of-the
διαλέγεσθαι δύναμις, εἴ τινα πρὸ αὐτῆς ἄλλην κρίναιμεν.
conversing power if any before it other we-should-judge
PROT. τίνα δὲ ταύτην αὖ δεῖ λέγειν;
which and this again is-it-needful to-name
58 SOC. δῆλον ὁτιὴ πᾶς ἂν τήν γε νῦν λεγομένην
clear that everyone — the at-least now spoken-of
γνοίη· τὴν γὰρ περὶ τὸ ὂν καὶ τὸ ὄντως
would-recognize the(-knowledge) for about the being and the really
καὶ τὸ κατὰ ταὐτὸν ἀεὶ πεφυκὸς πάντως ἔγωγε
and the according-to the-same always being-by-nature wholly I-at-least
οἶμαι ἡγεῖσθαι σύμπαντας ὅσοις νοῦ καὶ σμικρὸν
think to-consider all as-many-as of-mind even little
προσήρτηται μακρῷ ἀληθεστάτην εἶναι γνῶσιν. σὺ δὲ τί;
has-been-attached by-far truest to-be cognition you and what
πῶς τοῦτο, ὦ Πρώταρχε, διακρίνοις ἄν;
how this O Protarchus would-you-decide —
b PROT. ἤκουον μὲν ἔγωγε, ὦ Σώκρατες, ἑκάστοτε Γοργίου
I-used-to-hear indeed I-at-least O Socrates each-time from-Gorgias
πολλάκις ὡς ἡ τοῦ πείθειν πολὺ διαφέροι πασῶν
often that the(-art) of-the persuading by-much would-differ from-all
τεχνῶν — πάντα γὰρ ὑφ' αὑτῇ δοῦλα δι' ἑκόντων
arts all for under itself slaves through willing(-men)

ἀλλ᾽ οὐ διὰ βίας ποιοῖτο, καὶ μακρῷ ἀρίστη πασῶν
but not through force it-would-make and by-far best of-all
εἴη τῶν τεχνῶν — νῦν δ᾽ οὔτε σοὶ οὔτε δὴ ἐκείνῳ
would-be of-the arts now but neither to-you nor indeed to-that(-one)
βουλοίμην ἂν ἐναντία τίθεσθαι.
would-I-wish — opposite-things to-set

SOC. "τὰ ὅπλα" μοι δοκεῖς βουληθεὶς εἰπεῖν αἰσχυνθεὶς
the arms to-me you-seem having-wished to-say having-been-ashamed
ἀπολιπεῖν.
to-have-left

PROT. ἔστω νῦν ταῦτα ταύτῃ ὅπῃ σοι δοκεῖ.
let-them-be now these-things in-this-way however to-you it-seems

SOC. ἆρ᾽ οὖν αἴτιος ἐγὼ τοῦ μὴ καλῶς ὑπολαβεῖν σε;
so then cause I of-the not well to-have-taken-up you

PROT. τὸ ποῖον;
the what-sort

SOC. οὐκ, ὦ φίλε Πρώταρχε, τοῦτο ἔγωγε ἐζήτουν πω, τίς c
not O dear Protarchus this I-at-least was-seeking yet which
τέχνη ἢ τίς ἐπιστήμη πασῶν διαφέρει τῷ μεγίστη καὶ
art or which knowledge of-all differs by-the greatest and
ἀρίστη καὶ πλεῖστα ὠφελοῦσα ἡμᾶς, ἀλλὰ τίς ποτε τὸ
best and most benefiting us but which ever the
σαφὲς καὶ τἀκριβὲς καὶ τὸ ἀληθέστατον ἐπισκοπεῖ, κἂν
clear and the-precise and the truest examines even
εἰ σμικρὰ καὶ σμικρὰ ὀνινᾶσα, τοῦτ᾽ ἔστιν ὃ νῦν δὴ
if small and small(-ways) profiting this is what now indeed
ζητοῦμεν. ἀλλ᾽ ὅρα — οὐδὲ γὰρ ἀπεχθήσῃ Γοργίᾳ,
we-seek but see not-even for will-you-incur-hatred with-Gorgias
τῇ μὲν ἐκείνου ὑπάρχειν τέχνῃ διδοὺς πρὸς χρείαν τοῖς
to-the indeed of-that to-belong art granting for use for-the
ἀνθρώποις κρατεῖν, ᾗ δ᾽ εἶπον ἐγὼ νῦν πραγματείᾳ,
men to-prevail to-which and I-said I now business

καθάπερ τοῦ λευκοῦ πέρι τότε ἔλεγον, κἂν εἰ σμικρόν,
as of-the white about then I-was-saying even if small
καθαρὸν δ' εἴη, τοῦ πολλοῦ καὶ μὴ τοιούτου διαφέρειν,
pure and it-be than-the much and not such to-differ
τούτῳ γ' αὐτῷ τῷ ἀληθεστάτῳ, καὶ νῦν δὴ σφόδρα
in-this at-least itself in-the truest and now indeed strongly
διανοηθέντες καὶ ἱκανῶς διαλογισάμενοι, μήτ' εἴς τινας
having-thought and sufficiently having-reasoned neither to some
ὠφελίας ἐπιστημῶν βλέψαντες μήτε τινὰς εὐδοκιμίας, ἀλλ' εἴ
benefits of-knowledges looking nor any reputations but if
τις πέφυκε τῆς ψυχῆς ἡμῶν δύναμις ἐρᾶν τε τοῦ ἀληθοῦς
some is-by-nature of-the soul our power to-love both the true
καὶ πάντα ἕνεκα τούτου πράττειν, ταύτην εἴπωμεν
and all for-the-sake-of this to-do this let-us-name
διεξερευνησάμενοι — τὸ καθαρὸν νοῦ τε καὶ φρονήσεως
having-searched-through the pure of-mind both and of-prudence
εἰ ταύτην μάλιστα ἐκ τῶν εἰκότων ἐκτῆσθαι φαῖμεν
if this most from the likelihoods to-have-acquired we-would-say
ἂν ἤ τινα ἑτέραν ταύτης κυριωτέραν ἡμῖν ζητητέον.
— or some other than-this more-authoritative by-us must-be-sought

e PROT. ἀλλὰ σκοπῶ, καὶ χαλεπὸν οἶμαι συγχωρῆσαί
but I-am-examining and hard I-think to-grant
τινα ἄλλην ἐπιστήμην ἢ τέχνην τῆς ἀληθείας ἀντέχεσθαι
any other knowledge or art of-the truth to-cling-to
μᾶλλον ἢ ταύτην.
more than this

XXII · THE MIXING BOWL

Most arts study what comes to be, not what always is, and have no firm truth. Mind and prudence are names for thought about true being. The argument is recalled: the good is complete and sufficient, found in the mixed life. Like cupbearers with a fountain of honey and one of sober water, they must mix pleasure and prudence well, beginning with the truest parts of each.

SOC. ἆρ᾽ οὖν ἐννοήσας τὸ τοιόνδε εἴρηκας ὃ λέγεις 59
so then having-had-in-mind the such have-you-spoken what you-say
νῦν, ὡς αἱ πολλαὶ τέχναι, καὶ ὅσοι περὶ ταῦτα
now that the many arts and as-many-as about these-things
πεπόνηνται, πρῶτον μὲν δόξαις χρῶνται καὶ τὰ
have-toiled first indeed opinions use and the(-things)
περὶ δόξαν ζητοῦσι συντεταμένως; εἴ τε καὶ περὶ φύσεως
about opinion seek intently if both even about nature
ἡγεῖταί τις ζητεῖν, οἶσθ᾽ ὅτι τὰ περὶ τὸν κόσμον
thinks one to-seek you-know that the(-things) about the cosmos
τόνδε, ὅπῃ τε γέγονεν καὶ ὅπῃ πάσχει τι καὶ ὅπῃ
this how both it-has-come-to-be and how it-suffers something and how
ποιεῖ, ταῦτα ζητεῖ διὰ βίου; φαῖμεν ἂν ταῦτα, ἢ πῶς;
it-acts these-things he-seeks through life would-we-say — these-things or how
PROT. οὕτως.
so
SOC. οὐκοῦν οὐ περὶ τὰ ὄντα ἀεί, περὶ δὲ τὰ
therefore not about the(-things) being always about and the(-things)
γιγνόμενα καὶ γενησόμενα καὶ γεγονότα ἡμῶν ὁ
coming-to-be and going-to-come-to-be and having-come-to-be of-us the
τοιοῦτος ἀνῄρηται τὸν πόνον;
such(-man) has-taken-up the toil
PROT. ἀληθέστατα.
most-truly

b SOC. τούτων οὖν τι σαφὲς ἂν φαῖμεν τῇ ἀκριβεστάτῃ
of-these then anything clear — would-we-say by-the most-precise
ἀληθείᾳ γίγνεσθαι, ὧν μήτε ἔσχε μηδὲν πώποτε κατὰ
truth to-come-about of-which neither had anything ever according-to
ταὐτὰ μήθ' ἕξει μήτε εἰς τὸ νῦν παρὸν ἔχει;
the-same nor will-have nor for the now present has
PROT. καὶ πῶς;
and how
SOC. περὶ οὖν τὰ μὴ κεκτημένα βεβαιότητα μηδ'
about then the(-things) not having-acquired firmness not-even
ἡντινοῦν πῶς ἄν ποτε βέβαιον γίγνοιθ' ἡμῖν καὶ
any-whatever how — ever firm would-come-about for-us even
ὁτιοῦν;
anything-whatever
PROT. οἶμαι μὲν οὐδαμῶς.
I-think indeed in-no-way
SOC. οὐδ' ἄρα νοῦς οὐδέ τις ἐπιστήμη περὶ αὐτά ἐστιν τὸ
nor then mind nor any knowledge about them is the
ἀληθέστατον ἔχουσα.
truest having
PROT. οὔκουν εἰκός γε.
not-then likely at-least
SOC. τὸν μὲν δὴ σὲ καὶ ἐμὲ καὶ Γοργίαν καὶ Φίληβον
the indeed indeed you and me and Gorgias and Philebus
χρὴ συχνὰ χαίρειν ἐᾶν, τόδε δὲ διαμαρτύρασθαι τῷ
one-must heartily to-fare-well to-let this and to-protest by-the
λόγῳ.
argument
c PROT. τὸ ποῖον;
the what-sort

SOC. ὡς ἢ περὶ ἐκεῖνα ἔσθ' ἡμῖν τό τε βέβαιον καὶ
that either about those is for-us the both firm and
τὸ καθαρὸν καὶ ἀληθὲς καὶ ὃ δὴ λέγομεν εἰλικρινές,
the pure and true and what indeed we-call unmixed
περὶ τὰ ἀεὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ἀμεικτότατα
about the(-things) always according-to the same likewise most-unmixed
ἔχοντα, ἢ ἐκείνων ὅτι μάλιστά ἐστι συγγενές· τὰ δ'
holding or of-those as most is akin the and
ἄλλα πάντα δεύτερά τε καὶ ὕστερα λεκτέον.
others all second both and later must-be-called

PROT. ἀληθέστατα λέγεις.
most-truly you-speak

SOC. τὰ δὴ τῶν ὀνομάτων περὶ τὰ τοιαῦτα κάλλιστα
the indeed of-the names about the such finest
ἆρ' οὐ τοῖς καλλίστοις δικαιότατον ἀπονέμειν;
so not to-the finest most-just to-assign

PROT. εἰκός γε.
likely at-least

SOC. οὐκοῦν νοῦς ἐστι καὶ φρόνησις ἅ γ' ἄν τις d
therefore mind is and prudence which at-least — one
τιμήσειε μάλιστα ὀνόματα;
would-honor most names

PROT. ναί.
yes

SOC. ταῦτ' ἄρα ἐν ταῖς περὶ τὸ ὂν ὄντως ἐννοίαις ἐστὶν
these then in the about the being really conceptions are
ἀπηκριβωμένα ὀρθῶς κείμενα καλεῖσθαι.
made-precise rightly laid-down to-be-called

PROT. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. καὶ μὴν ἅ γε εἰς τὴν κρίσιν ἐγὼ τότε παρεσχόμην
and indeed which at-least for the judgment I then furnished
οὐκ ἄλλ' ἐστὶν ἢ ταῦτα τὰ ὀνόματα.
not other-things are than these the names
PROT. τί μήν, ὦ Σώκρατες;
what indeed O Socrates
e SOC. εἶεν. τὸ μὲν δὴ φρονήσεώς τε καὶ ἡδονῆς
well the(-matter) indeed indeed of-prudence both and of-pleasure
πέρι πρὸς τὴν ἀλλήλων μεῖξιν εἴ τις φαίη καθαπερεὶ
about for the of-one-another mixture if one should-say as-if
δημιουργοῖς ἡμῖν ἐξ ὧν ἢ ἐν οἷς δεῖ δημιουργεῖν
to-craftsmen to-us from which or in which one-must to-craft
τι παρακεῖσθαι, καλῶς ἂν τῷ λόγῳ ἀπεικάζοι.
something to-lie-beside well — by-the argument he-would-liken(-it)
PROT. καὶ μάλα.
and very(-much)
SOC. τὸ δὴ μετὰ ταῦτα ἆρ' οὐ μειγνύναι ἐπιχειρητέον;
the(-thing) indeed after these-things so not to-mix must-one-attempt
PROT. τί μήν;
what indeed
SOC. οὐκοῦν τάδε προειποῦσι καὶ ἀναμνήσασιν ἡμᾶς
therefore these having-said-beforehand and having-reminded us
αὐτοὺς ὀρθότερον ἂν ἔχοι;
ourselves more-rightly — it-would-hold
PROT. τὰ ποῖα;
the what-sort
60 SOC. ἃ καὶ πρότερον ἐμνήσθημεν· εὖ δ' ἡ παροιμία
which also before we-mentioned well and the proverb
δοκεῖ ἔχειν, τὸ καὶ δὶς καὶ τρὶς τό γε καλῶς ἔχον
seems to-hold the both twice and thrice the(-thing) at-least well holding
ἐπαναπολεῖν τῷ λόγῳ δεῖν.
to-go-over-again in-the argument to-be-necessary

PROT. τί μήν;
what indeed

SOC. φέρε δὴ πρὸς Διός· οἶμαι γὰρ οὑτωσί πως τὰ
come indeed by Zeus I-think for thus somehow the(-things)
τότε λεχθέντα ῥηθῆναι.
then told to-have-been-said

PROT. πῶς;
how

SOC. Φίληβός φησι τὴν ἡδονὴν σκοπὸν ὀρθὸν πᾶσι ζῴοις b
Philebus says the pleasure aim right for-all animals
γεγονέναι καὶ δεῖν πάντας τούτου στοχάζεσθαι, καὶ
to-have-become and to-be-necessary all at-this to-aim and
δὴ καὶ τἀγαθὸν τοῦτ' αὐτὸ εἶναι σύμπασι, καὶ δύο ὀνόματα,
indeed also the-good this itself to-be for-all and two names
ἀγαθὸν καὶ ἡδύ, ἑνί τινι καὶ φύσει μιᾷ τούτω ὀρθῶς
good and pleasant to-one some and nature one these-two rightly
τεθέντ' ἔχειν· Σωκράτης δ' ἓν μὲν οὔ φησι τοῦτ' εἶναι,
set to-hold Socrates and one indeed not says this to-be
δύο δὲ καθάπερ τὰ ὀνόματα, καὶ τό τε ἀγαθὸν καὶ ἡδὺ
two but as the names also the both good and pleasant
διάφορον ἀλλήλων φύσιν ἔχειν, μᾶλλον δὲ μέτοχον εἶναι
different from-one-another nature to-have more and sharing to-be
τῆς τοῦ ἀγαθοῦ μοίρας τὴν φρόνησιν ἢ τὴν ἡδονήν. οὐ
of-the of-the good portion the prudence than the pleasure not
ταῦτ' ἔστιν τε καὶ ἦν τὰ τότε λεγόμενα, ὦ Πρώταρχε;
these is both and was the(-things) then said O Protarchus

PROT. σφόδρα μὲν οὖν.
strongly indeed then

SOC. οὐκοῦν καὶ τόδε καὶ τότε καὶ νῦν ἡμῖν ἂν
therefore also this both then and now by-us —
συνομολογοῖτο;
would-be-agreed

PROT. τὸ ποῖον;

the what-sort

SOC. τὴν τἀγαθοῦ διαφέρειν φύσιν τῷδε τῶν ἄλλων.

the of-the-good to-differ nature in-this from-the others

c PROT. τίνι;

in-what

SOC. ᾧ παρείη τοῦτ' ἀεὶ τῶν ζῴων διὰ

to-whom it-should-be-present this always of-the animals through

τέλους πάντως καὶ πάντῃ, μηδενὸς ἑτέρου ποτὲ ἔτι

end wholly and in-every-way of-nothing other ever further

προσδεῖσθαι, τὸ δὲ ἱκανὸν τελεώτατον ἔχειν. οὐχ οὕτως;

to-need-besides the and sufficient most-complete to-have not so

PROT. οὕτω μὲν οὖν.

so indeed then

SOC. οὐκοῦν τῷ λόγῳ ἐπειράθημεν χωρὶς ἑκάτερον ἑκατέρου

therefore in-the argument we-tried apart each from-each

θέντες εἰς τὸν βίον ἑκάστων, ἄμεικτον μὲν ἡδονὴν φρονήσει,

setting into the life of-each unmixed indeed pleasure with-prudence

φρόνησιν δὲ ὡσαύτως ἡδονῆς μηδὲ τὸ σμικρότατον ἔχουσαν;

prudence and likewise of-pleasure not-even the smallest having

PROT. ἦν ταῦτα.

it-was these-things

d SOC. μῶν οὖν ἡμῖν αὐτῶν τότε πότερον ἱκανὸν ἔδοξεν

surely-not then to-us of-them then either sufficient seemed

εἶναί τῳ;

to-be to-anyone

PROT. καὶ πῶς;

and how

e SOC. εἰ δέ γε παρηνέχθημέν τι τότε, νῦν ὁστισοῦν

if and at-least we-were-carried-astray somewhat then now whoever

ἐπαναλαβὼν ὀρθότερον εἰπάτω, μνήμην καὶ φρόνησιν καὶ

taking-up more-rightly let-him-say memory and prudence and

ἐπιστήμην καὶ ἀληθῆ δόξαν τῆς αὐτῆς ἰδέας τιθέμενος καὶ
knowledge and true opinion of-the same form setting and
σκοπῶν εἴ τις ἄνευ τούτων δέξαιτ' ἄν οἱ καὶ ὁτιοῦν
examining whether one without these would-accept — for-himself even anything
εἶναι ἢ καὶ γίγνεσθαι, μὴ ὅτι δή γε ἡδονὴν εἴθ' ὡς
to-be or even to-come-about not to-say indeed at-least pleasure whether as
πλείστην εἴθ' ὡς σφοδροτάτην, ἣν μήτε ἀληθῶς δοξάζοι
most or as most-vehement which neither truly he-would-opine
χαίρειν μήτε τὸ παράπαν γιγνώσκοι τί ποτε πέπονθε
to-rejoice nor — altogether would-know what ever he-has-suffered
πάθος μήτ' αὖ μνήμην τοῦ πάθους μηδ' ὁντινοῦν χρόνον
experience nor again memory of-the experience not-even any time
ἔχοι. ταὐτὰ δὲ λεγέτω καὶ περὶ φρονήσεως, εἴ τις
would-have the-same-things and let-him-say also about prudence whether one
ἄνευ πάσης ἡδονῆς καὶ τῆς βραχυτάτης δέξαιτ' ἂν φρόνησιν
without all pleasure even the briefest would-accept — prudence
ἔχειν μᾶλλον ἢ μετά τινων ἡδονῶν ἢ πάσας ἡδονὰς
to-have rather than with some pleasures or all pleasures
χωρὶς φρονήσεως μᾶλλον ἢ μετὰ φρονήσεως αὖ τινος.
apart-from prudence rather than with prudence again some
PROT. οὐκ ἔστιν, ὦ Σώκρατες, ἀλλ' οὐδὲν δεῖ ταῦτά
not it-is O Socrates but nothing it-is-needful these-things
γε πολλάκις ἐπερωτᾶν.
at-least often to-ask-again
SOC. οὐκοῦν τό γε τέλεον καὶ πᾶσιν αἱρετὸν καὶ τὸ 61
therefore the at-least complete and to-all choiceworthy and the
παντάπασιν ἀγαθὸν οὐδέτερον ἂν τούτων εἴη;
altogether good neither — of-these would-be
PROT. πῶς γὰρ ἄν;
how for —

SOC. τὸ τοίνυν ἀγαθὸν ἤτοι σαφῶς ἢ καί τινα τύπον
the then good either clearly or even some outline
αὐτοῦ ληπτέον, ἵν', ὅπερ ἐλέγομεν, δευτερεῖα ὅτῳ
of-it must-be-grasped so-that what-very we-were-saying second-prizes to-whom
δώσομεν ἔχωμεν.
we-shall-give we-may-have

PROT. ὀρθότατα λέγεις.
most-rightly you-speak

SOC. οὐκοῦν ὁδὸν μέν τινα ἐπὶ τἀγαθὸν εἰλήφαμεν;
therefore road indeed some to the-good we-have-got

PROT. τίνα;
which

b SOC. καθάπερ εἴ τίς τινα ἄνθρωπον ζητῶν τὴν οἴκησιν
as if one some man seeking the dwelling
πρῶτον ὀρθῶς ἵν' οἰκεῖ πύθοιτο αὐτοῦ, μέγα τι
first rightly where he-dwells should-learn of-him great something
δήπου πρὸς τὴν εὕρεσιν ἂν ἔχοι τοῦ ζητουμένου.
surely toward the finding — he-would-have of-the sought(-man)

PROT. πῶς δ' οὔ;
how and not

SOC. καὶ νῦν δή τις λόγος ἐμήνυσεν ἡμῖν, ὥσπερ καὶ
and now indeed some argument revealed to-us as also
κατ' ἀρχάς, μὴ ζητεῖν ἐν τῷ ἀμείκτῳ βίῳ τἀγαθὸν ἀλλ'
at beginnings not to-seek in the unmixed life the-good but
ἐν τῷ μεικτῷ.
in the mixed

PROT. πάνυ γε.
certainly at-least

SOC. ἐλπὶς μὴν πλείων ἐν τῷ μειχθέντι καλῶς τὸ
hope indeed more in the mixed well the
ζητούμενον ἔσεσθαι φανερώτερον ἢ ἐν τῷ μή;
sought to-be more-plain than in the not(-mixed)

PROT. πολύ γε.
much at-least

SOC. τοῖς δὴ θεοῖς, ὦ Πρώταρχε, εὐχόμενοι κεραννύωμεν, c
to-the indeed gods O Protarchus praying let-us-mix
εἴτε Διόνυσος εἴτε Ἥφαιστος εἴθ' ὅστις θεῶν ταύτην τὴν
whether Dionysus or Hephaestus or whoever of-gods this the
τιμὴν εἴληχε τῆς συγκράσεως.
honor has-obtained of-the blending

PROT. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. καὶ μὴν καθάπερ ἡμῖν οἰνοχόοις τισὶ παρεστᾶσι
and indeed as for-us like-cupbearers some standing-by
κρῆναι — μέλιτος μὲν ἂν ἀπεικάζοι τις τὴν τῆς
fountains of-honey indeed — would-liken one the(-fountain) of-the
ἡδονῆς, τὴν δὲ τῆς φρονήσεως νηφαντικὴν καὶ ἄοινον
pleasure the(-one) and of-the prudence sobering and wineless
αὐστηροῦ καὶ ὑγιεινοῦ τινος ὕδατος — ἃς προθυμητέον
of-austere and healthful some water which one-must-be-eager-for
ὡς κάλλιστα συμμειγνύναι.
as most-finely to-mix-together

PROT. πῶς γὰρ οὔ;
how for not

SOC. φέρε δὴ πρότερον· ἆρα πᾶσαν ἡδονὴν πάσῃ φρονήσει d
come indeed first then all pleasure with-all prudence
μειγνύντες τοῦ καλῶς ἂν μάλιστα ἐπιτύχοιμεν;
mixing of-the well — most would-we-attain

PROT. ἴσως.
perhaps

SOC. ἀλλ' οὐκ ἀσφαλές. ᾗ δὲ ἀκινδυνότερον ἂν
but not safe in-which and less-dangerously —
μειγνύοιμεν, δόξαν μοι δοκῶ τινα ἀποφήνασθαι ἄν.
we-might-mix an-opinion to-me I-seem some to-declare —

PROT. λέγε τίνα.

say which

SOC. ἦν ἡμῖν ἡδονή τε ἀληθῶς, ὡς οἰόμεθα, μᾶλλον

there-was to-us pleasure both truly as we-think more

ἑτέρας ἄλλη καὶ δὴ καὶ τέχνη τέχνης ἀκριβεστέρα;

than-another other and indeed also art than-art more-precise

PROT. πῶς γὰρ οὔ;

how for not

e SOC. καὶ ἐπιστήμη δὴ ἐπιστήμης διάφορος, ἡ μὲν ἐπὶ

and knowledge indeed from-knowledge different the(-one) indeed to

τὰ γιγνόμενα καὶ ἀπολλύμενα ἀποβλέπουσα, ἡ

the(-things) coming-to-be and perishing looking the(-one)

δ' ἐπὶ τὰ μήτε γιγνόμενα μήτε ἀπολλύμενα, κατὰ

and to the(-things) neither coming-to-be nor perishing according-to

ταὐτὰ δὲ καὶ ὡσαύτως ὄντα ἀεί. ταύτην εἰς τὸ ἀληθὲς

the-same and also likewise being always this toward the true

ἐπισκοπούμενοι ἡγησάμεθα ἐκείνης ἀληθεστέραν εἶναι.

examining we-considered than-that truer to-be

PROT. πάνυ μὲν οὖν ὀρθῶς.

certainly indeed then rightly

SOC. οὐκοῦν εἰ τἀληθέστατα τμήματα ἑκατέρας ἴδοιμεν

therefore if the-truest sections of-each we-should-see

πρῶτον συμμείξαντες, ἆρα ἱκανὰ ταῦτα συγκεκραμένα

first having-mixed-together then sufficient these blended

τὸν ἀγαπητότατον βίον ἀπεργασάμενα παρέχειν ἡμῖν, ἢ

the most-beloved life having-worked-out to-furnish to-us or

τινος ἔτι προσδεόμεθα καὶ τῶν μὴ τοιούτων;

of-something still do-we-need also of-the(-ones) not such

A man knowing only the divine circle would not find his way home, so every knowledge is let in, as a doorkeeper yields to a crowd. Of pleasures, the true and the necessary are admitted. Asked, the pleasures would live with all knowledge, while mind and prudence accept the pure pleasures and those of health and virtue and refuse the most intense. Truth must be mixed in. The speakers now stand at the porch of the good's dwelling. Without measure and proportion any mixture is a calamity; with them come beauty and virtue, where the good takes refuge.

PROT. ἐμοὶ γοῦν δοκεῖ δρᾶν οὕτως. 62
to-me at-any-rate it-seems to-do so

SOC. ἔστω δή τις ἡμῖν φρονῶν ἄνθρωπος αὐτῆς
let-there-be indeed some for-us being-prudent man itself
περὶ δικαιοσύνης ὅτι ἔστιν, καὶ λόγον ἔχων ἑπόμενον
about justice what it-is and account having following
τῷ νοεῖν, καὶ δὴ καὶ περὶ τῶν ἄλλων πάντων τῶν
the understanding and indeed also about the other all the
ὄντων ὡσαύτως διανοούμενος.
beings likewise thinking

PROT. ἔστω γὰρ οὖν.
let-there-be for indeed

SOC. ἆρ' οὖν οὕτος ἱκανῶς ἐπιστήμης ἕξει, κύκλου μὲν b
so then this(-man) sufficiently of-knowledge will-have of-circle indeed
καὶ σφαίρας αὐτῆς τῆς θείας τὸν λόγον ἔχων, τὴν δὲ
and sphere itself the divine the account having the and
ἀνθρωπίνην ταύτην σφαῖραν καὶ τοὺς κύκλους τούτους
human this sphere and the circles these
ἀγνοῶν, καὶ χρώμενος ἐν οἰκοδομίᾳ καὶ τοῖς ἄλλοις
not-knowing and using in house-building and the other
ὁμοίως κανόσι καὶ τοῖς κύκλοις;
alike rulers and the circles

PROT. γελοίαν διάθεσιν ἡμῶν, ὦ Σώκρατες, ἐν ταῖς θείαις
ridiculous condition of-us O Socrates in the divine
οὔσαν μόνον ἐπιστήμαις λέγομεν.
being only knowledges we-call(-it)
SOC. πῶς φῄς; ἦ τοῦ ψευδοῦς κανόνος ἅμα καὶ τοῦ
how do-you-say truly of-the false ruler together and of-the
κύκλου τὴν οὐ βέβαιον οὐδὲ καθαρὰν τέχνην ἐμβλητέον
circle the not firm nor pure art must-be-thrown-in
κοινῇ καὶ συγκρατέον;
in-common and must-be-blended
PROT. ἀναγκαῖον γάρ, εἰ μέλλει τις ἡμῶν καὶ τὴν ὁδὸν
necessary for if is-going one of-us even the road
ἑκάστοτε ἐξευρήσειν οἴκαδε.
each-time to-find-out home
c SOC. ἦ καὶ μουσικήν, ἣν ὀλίγον ἔμπροσθεν ἔφαμεν
truly also music which a-little before we-said
στοχάσεώς τε καὶ μιμήσεως μεστὴν οὖσαν καθαρότητος
of-conjecture both and of-imitation full being of-purity
ἐνδεῖν;
to-lack
PROT. ἀναγκαῖον φαίνεται ἔμοιγε, εἴπερ γε ἡμῶν ὁ
necessary it-appears to-me-at-least if-indeed at-least our the
βίος ἔσται καὶ ὁπωσοῦν ποτε βίος.
life is-to-be even in-any-way ever a-life
SOC. βούλει δῆτα, ὥσπερ θυρωρὸς ὑπ᾽ ὄχλου τις ὠθούμενος
do-you-wish indeed as a-doorkeeper by a-crowd some being-pushed
καὶ βιαζόμενος, ἡττηθεὶς ἀναπετάσας τὰς θύρας ἀφῶ
and being-forced defeated having-thrown-open the doors may-I-let
πάσας τὰς ἐπιστήμας εἰσρεῖν καὶ μείγνυσθαι ὁμοῦ καθαρᾷ
all the knowledges to-flow-in and to-be-mixed together with-pure
τὴν ἐνδεεστέραν;
the more-deficient

PROT. οὔκουν ἔγωγε οἶδα, ὦ Σώκρατες, ὅτι τις ἂν d
not-then I-at-least know O Socrates what one —
βλάπτοιτο πάσας λαβὼν τὰς ἄλλας ἐπιστήμας, ἔχων
would-be-harmed all having-taken the other knowledges having
τὰς πρώτας.
the first(-ones)
SOC. μεθιῶ δὴ τὰς συμπάσας ῥεῖν εἰς τὴν τῆς Ὁμήρου
am-I-to-let-go indeed the all-together to-flow into the of-the of-Homer
καὶ μάλα ποιητικῆς μισγαγκείας ὑποδοχήν;
and very poetic meeting-of-glens receptacle
PROT. πάνυ μὲν οὖν.
certainly indeed then
SOC. μεθεῖνται· καὶ πάλιν ἐπὶ τὴν τῶν ἡδονῶν πηγὴν e
they-have-been-let-go and back to the of-the pleasures spring
ἰτέον. ὡς γὰρ διενοήθημεν αὐτὰς μειγνύναι, τὰ τῶν
one-must-go as for we-intended them to-mix the of-the
ἀληθῶν μόρια πρῶτον, οὐκ ἐξεγένεθ' ἡμῖν, ἀλλὰ διὰ
true(-ones) parts first not it-was-possible for-us but because-of
τὸ πᾶσαν ἀγαπᾶν ἐπιστήμην εἰς ταὐτὸν μεθεῖμεν ἁθρόας
the all to-love knowledge into the-same we-let-go crowded
καὶ πρόσθεν τῶν ἡδονῶν.
even before the pleasures
PROT. ἀληθέστατα λέγεις.
most-truly you-speak
SOC. ὥρα δὴ βουλεύεσθαι νῷν καὶ περὶ τῶν ἡδονῶν,
time indeed to-take-counsel for-us-two also about the pleasures
πότερα καὶ ταύτας πάσας ἁθρόας ἀφετέον ἢ καὶ τούτων
whether also these all crowded must-be-let-go or also of-these
πρώτας μεθετέον ἡμῖν ὅσαι ἀληθεῖς.
first must-be-let-go by-us as-many-as (are)-true

PROT. πολύ τι διαφέρει πρός γε ἀσφάλειαν πρώτας
much somewhat it-differs toward at-least safety first
τὰς ἀληθεῖς ἀφεῖναι.
the true(-ones) to-let-go

SOC. μεθείσθων δή. τί δὲ μετὰ ταῦτα; ἆρ' οὐκ εἰ μέν
let-them-be-let-go indeed what and after these-things so not if indeed
τινες ἀναγκαῖαι, καθάπερ ἐκεῖ, συμμεικτέον καὶ ταύτας;
some (are)-necessary as there one-must-mix also these

PROT. τί δ' οὔ; τάς γε ἀναγκαίας δήπουθεν.
what and not the at-least necessary surely

63 SOC. εἰ δέ γε καί, καθάπερ τὰς τέχνας πάσας ἀβλαβές
if and at-least also as the arts all harmless
τε καὶ ὠφέλιμον ἦν ἐπίστασθαι διὰ βίου, καὶ νῦν
both and beneficial it-was to-know through life also now
δὴ ταὐτὰ λέγομεν περὶ τῶν ἡδονῶν, εἴπερ πάσας
indeed the-same-things we-say about the pleasures if-indeed all
ἡδονὰς ἥδεσθαι διὰ βίου συμφέρον τε ἡμῖν ἐστι καὶ
pleasures to-enjoy through life advantageous both for-us is and
ἀβλαβὲς ἅπασι, πάσας συγκρατέον.
harmless for-all all must-be-blended

PROT. πῶς οὖν δὴ περὶ αὐτῶν τούτων λέγωμεν; καὶ πῶς
how then indeed about them these shall-we-speak and how
ποιῶμεν;
shall-we-do

SOC. οὐχ ἡμᾶς, ὦ Πρώταρχε, διερωτᾶν χρή, τὰς ἡδονὰς
not us O Protarchus to-question one-must the pleasures
δὲ αὐτὰς καὶ τὰς φρονήσεις διαπυνθανομένους τὸ τοιόνδε
but themselves and the prudences asking-thoroughly the such
ἀλλήλων πέρι.
one-another about

b PROT. τὸ ποῖον;
the what-sort

SOC. "ὦ φίλαι, εἴτε ἡδονὰς ὑμᾶς χρὴ προσαγορεύειν εἴτε
O dear(-ones) whether pleasures you one-must to-call or
ἄλλῳ ὁτῳοῦν ὀνόματι, μῶν οὐκ ἂν δέξαισθε οἰκεῖν
by-other any-whatever name surely-not not — would-you-accept to-dwell
μετὰ φρονήσεως πάσης ἢ χωρὶς τοῦ φρονεῖν;" οἶμαι
with prudence all or apart-from the being-prudent I-think
μὲν πρὸς ταῦτα τόδ' αὐτὰς ἀναγκαιότατον εἶναι λέγειν.
indeed to these this them most-necessary to-be to-say
PROT. τὸ ποῖον;
the what-sort
SOC. ὅτι καθάπερ ἔμπροσθεν ἐρρήθη, "τὸ μόνον καὶ ἔρημον c
that as before was-said the alone and solitary
εἰλικρινὲς εἶναί τι γένος οὔτε πάνυ τι δυνατὸν οὔτ'
unmixed to-be any kind neither very at-all possible nor
ὠφέλιμον· πάντων γε μὴν ἡγούμεθα γενῶν ἄριστον ἓν
beneficial of-all at-least indeed we-consider kinds best one
ἀνθ' ἑνὸς συνοικεῖν ἡμῖν τὸ τοῦ γιγνώσκειν τἆλλά
in-place-of one to-dwell-with us the(-kind) of-the knowing the-others
τε πάντα καὶ αὐτὴν ἡμῶν τελέως εἰς δύναμιν ἑκάστην."
both all and itself of-us completely to power each
PROT. "καὶ καλῶς γε εἰρήκατε τὰ νῦν," φήσομεν.
and well at-least you-have-spoken the now we-shall-say
SOC. ὀρθῶς. πάλιν τοίνυν μετὰ τοῦτο τὴν φρόνησιν καὶ
rightly back then after this the prudence and
τὸν νοῦν ἀνερωτητέον· "ἆρ' ἡδονῶν τι προσδεῖσθε ἐν τῇ
the mind must-be-asked so of-pleasures any do-you-need-besides in the
συγκράσει;" φαῖμεν ἂν αὖ τὸν νοῦν τε καὶ τὴν φρόνησιν
blending we-would-say — again the mind both and the prudence
ἀνερωτῶντες. "ποίων," φαῖεν ἂν ἴσως, "ἡδονῶν;"
asking of-what-sort would-they-say — perhaps pleasures
PROT. εἰκός.
likely

d soc. ὁ δέ γ' ἡμέτερος λόγος μετὰ τοῦτ' ἐστὶν ὅδε.
the and at-least our argument after this is this
"πρὸς ταῖς ἀληθέσιν ἐκείναις ἡδοναῖς," φήσομεν, "ἆρ' ἔτι
besides the true those pleasures we-shall-say so still
προσδεῖσθ' ὑμῖν τὰς μεγίστας ἡδονὰς συνοίκους εἶναι
do-you-need-besides for-you the greatest pleasures fellow-dwellers to-be
καὶ τὰς σφοδροτάτας;" "καὶ πῶς, ὦ Σώκρατες," ἴσως
and the most-vehement and how O Socrates perhaps
φαῖεν ἄν, "αἵ γ' ἐμποδίσματά τε μυρία ἡμῖν
would-they-say — which at-least hindrances both ten-thousand to-us
ἔχουσι, τὰς ψυχὰς ἐν αἷς οἰκοῦμεν ταράττουσαι διὰ
have the souls in which we-dwell disturbing through
μανίας, καὶ γίγνεσθαί τε ἡμᾶς τὴν ἀρχὴν οὐκ ἐῶσι,
madness and to-come-to-be both us (at)-the outset not they-allow
τά τε γιγνόμενα ἡμῶν τέκνα ὡς τὸ πολύ, δι' ἀμέλειαν
the both born of-us children as the most-part through neglect
λήθην ἐμποιοῦσαι, παντάπασι διαφθείρουσιν;"
forgetfulness producing altogether they-destroy
64 "ἀλλ' ἅς τε ἡδονὰς ἀληθεῖς καὶ καθαρὰς εἶπες, σχεδὸν
but which both pleasures true and pure you-said nearly
οἰκείας ἡμῖν νόμιζε, καὶ πρὸς ταύταις τὰς μεθ' ὑγιείας
akin to-us believe and besides these the(-ones) with health
καὶ τοῦ σωφρονεῖν, καὶ δὴ καὶ συμπάσης ἀρετῆς ὁπόσαι
and of-the being-moderate and indeed also of-all virtue as-many-as
καθάπερ θεοῦ ὀπαδοὶ γιγνόμεναι αὐτῇ συνακολουθοῦσι
as of-a-god attendants becoming it follow
πάντῃ, ταύτας μείγνυ· τὰς δ' ἀεὶ μετ' ἀφροσύνης
everywhere these mix the(-ones) and always with senselessness
καὶ τῆς ἄλλης κακίας ἑπομένας πολλή που ἀλογία
and the other vice following much surely absurdity
τῷ νῷ μειγνύναι τὸν βουλόμενον ὅτι καλλίστην
with-the mind to-mix for-the(-one) wishing as finest

ἰδόντα καὶ ἀστασιαστοτάτην μεῖξιν καὶ κρᾶσιν, ἐν ταύτῃ
having-seen and least-factious mixture and blending in this
μαθεῖν πειρᾶσθαι τί ποτε ἔν τ' ἀνθρώπῳ καὶ τῷ
to-learn to-try what ever in both man and in-the
παντὶ πέφυκεν ἀγαθὸν καὶ τίνα ἰδέαν αὐτὴν εἶναί ποτε
all is-by-nature good and what form itself to-be ever
μαντευτέον." ἆρ' οὐκ ἐμφρόνως ταῦτα καὶ ἐχόντως
must-be-divined so not sensibly these-things and in-possession-of
ἑαυτὸν τὸν νοῦν φήσομεν ὑπέρ τε αὐτοῦ καὶ μνήμης
itself the mind shall-we-say on-behalf-of both itself and of-memory
καὶ δόξης ὀρθῆς ἀποκρίνασθαι τὰ νῦν ῥηθέντα;
and of-opinion right to-have-answered the now said(-things)

PROT. παντάπασι μὲν οὖν.
altogether indeed then

SOC. ἀλλὰ μὴν καὶ τόδε γε ἀναγκαῖον, καὶ οὐκ ἄλλως
but indeed also this at-least necessary and not otherwise
ἄν ποτε γένοιτο οὐδ' ἂν ἕν.
— ever would-come-about even — one(-thing)

PROT. τὸ ποῖον; b
the what-sort

SOC. ᾧ μὴ μείξομεν ἀλήθειαν, οὐκ ἄν ποτε τοῦτο
with-which not we-shall-mix truth not — ever this
ἀληθῶς γίγνοιτο οὐδ' ἂν γενόμενον εἴη.
truly would-come-about nor — having-come-about would-it-be

PROT. πῶς γὰρ ἄν;
how for —

SOC. οὐδαμῶς. ἀλλ' εἴ τινος ἔτι προσδεῖ τῇ συγκράσει
in-no-way but if of-anything still there-is-need to-the blending
ταύτῃ, λέγετε σὺ καὶ Φίληβος. ἐμοὶ μὲν γὰρ καθαπερεὶ
this say you and Philebus to-me indeed for as-if

κόσμος τις ἀσώματος ἄρξων καλῶς ἐμψύχου σώματος
an-order some bodiless going-to-rule finely of-an-ensouled body
ὁ νῦν λόγος ἀπειργάσθαι φαίνεται.
the present argument to-have-been-worked-out appears

PROT. καὶ ἐμοὶ τοίνυν, ὦ Σώκρατες, οὕτω λέγε δεδόχθαι.
and to-me then O Socrates so say to-have-seemed-good

c SOC. ἆρ' οὖν ἐπὶ μὲν τοῖς τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις
so then at indeed the of-the good now already porches
τῆς οἰκήσεως ἐφεστάναι λέγοντες ἴσως ὀρθῶς ἄν τινα
of-the dwelling to-stand saying perhaps rightly — in-some
τρόπον φαῖμεν;
way would-we-speak

PROT. ἐμοὶ γοῦν δοκεῖ.
to-me at-any-rate it-seems

SOC. τί δῆτα ἐν τῇ συμμείξει τιμιώτατον ἅμα καὶ
what indeed in the mixture most-honored at-the-same-time and
μάλιστ' αἴτιον εἶναι δόξειεν ἂν ἡμῖν τοῦ πᾶσιν γεγονέναι
most cause to-be would-seem — to-us of-the for-all to-have-become
προσφιλῆ τὴν τοιαύτην διάθεσιν; τοῦτο γὰρ ἰδόντες
dear the such condition this for having-seen
μετὰ τοῦτ' ἐπισκεψόμεθα εἴθ' ἡδονῇ εἴτε τῷ νῷ
after this we-shall-examine whether to-pleasure or to-the mind
προσφυέστερον καὶ οἰκειότερον ἐν τῷ παντὶ συνέστηκεν.
more-naturally-attached and more-akin in the all it-has-been-constituted

d PROT. ὀρθῶς· τοῦτο γὰρ εἰς τὴν κρίσιν ἡμῖν ἐστι
rightly this for for the judgment to-us is
συμφορώτατον.
most-useful

SOC. καὶ μὴν καὶ συμπάσης γε μείξεως οὐ χαλεπὸν
and indeed also of-all at-least mixture not hard
ἰδεῖν τὴν αἰτίαν, δι' ἣν ἢ παντὸς ἀξία γίγνεται
to-see the cause because-of which either of-everything worthy becomes
ἡτισοῦν ἢ τὸ παράπαν οὐδενός.
any-whatever or — altogether of-nothing

PROT. πῶς λέγεις;
how do-you-mean

SOC. οὐδείς που τοῦτο ἀνθρώπων ἀγνοεῖ.
no-one surely this of-men is-ignorant-of

PROT. τὸ ποῖον;
the what-sort

SOC. ὅτι μέτρου καὶ τῆς συμμέτρου φύσεως μὴ τυχοῦσα e
that of-measure and of-the commensurate nature not having-attained
ἡτισοῦν καὶ ὁπωσοῦν σύγκρασις πᾶσα ἐξ ἀνάγκης
any-whatever and in-any-way blending all out-of necessity
ἀπόλλυσι τά τε κεραννύμενα καὶ πρώτην αὐτήν· οὐδὲ γὰρ
destroys the both being-blended(-things) and first itself not-even for
κρᾶσις ἀλλά τις ἄκρατος συμπεφορημένη ἀληθῶς ἡ τοιαύτη
a-blending but some unblended jumbled-together truly the such
γίγνεται ἑκάστοτε ὄντως τοῖς κεκτημένοις συμφορά.
becomes each-time really for-those possessing(-it) a-calamity

PROT. ἀληθέστατα.
most-truly

SOC. νῦν δὴ καταπέφευγεν ἡμῖν ἡ τοῦ ἀγαθοῦ δύναμις
now indeed has-taken-refuge to-us the of-the good power
εἰς τὴν τοῦ καλοῦ φύσιν· μετριότης γὰρ καὶ συμμετρία
into the of-the beautiful nature measuredness for and commensurateness
κάλλος δήπου καὶ ἀρετὴ πανταχοῦ συμβαίνει γίγνεσθαι.
beauty surely and virtue everywhere happens to-come-about

PROT. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. καὶ μὴν ἀλήθειάν γε ἔφαμεν αὐτοῖς ἐν τῇ κράσει
and indeed truth at-least we-said to-them in the blending
μεμεῖχθαι.
to-have-been-mixed
PROT. πάνυ γε.
certainly at-least

XXIV · THE RANKING OF GOODS

The good is caught in three forms, beauty, proportion, and truth, and mind is nearer each than pleasure. So the possessions are ranked: first measure, second the proportioned and beautiful, third mind and prudence, fourth knowledges, arts, and right opinions, fifth the pure pleasures; at the sixth, as Orpheus says, the song should end. Socrates recalls that neither mind nor pleasure proved sufficient, but mind is nearer the winner. Pleasure is fifth, though all cattle and horses vote for it, and Protarchus says a little remains.

65 SOC. οὐκοῦν εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι,
therefore if not by-one we-can form the good to-hunt
σὺν τρισὶ λαβόντες, κάλλει καὶ συμμετρίᾳ καὶ ἀληθείᾳ,
with three having-taken(-it) beauty and commensurateness and truth
λέγωμεν ὡς τοῦτο οἷον ἓν ὀρθότατ' ἂν αἰτιασαίμεθ' ἂν
let-us-say that this as one most-rightly — we-would-hold-cause —
τῶν ἐν τῇ συμμείξει, καὶ διὰ τοῦτο ὡς ἀγαθὸν
of-the(-things) in the mixture and because-of this as good
ὂν τοιαύτην αὐτὴν γεγονέναι.
being such it to-have-become
PROT. ὀρθότατα μὲν οὖν.
most-rightly indeed then

SOC. ἤδη τοίνυν, ὦ Πρώταρχε, ἱκανὸς ἡμῖν γένοιτ' b
already then O Protarchus sufficient for-us would-become
ἂν ὁστισοῦν κριτὴς ἡδονῆς τε πέρι καὶ φρονήσεως,
— anyone judge of-pleasure both about and of-prudence
ὁπότερον αὐτοῖν τοῦ ἀρίστου συγγενέστερόν τε καὶ
which-of-the-two of-them to-the best more-akin both and
τιμιώτερον ἐν ἀνθρώποις τέ ἐστι καὶ θεοῖς.
more-honored among men both is and gods
PROT. δῆλον μέν, ὅμως δ' οὖν τῷ λόγῳ ἐπεξελθεῖν
clear indeed nevertheless but then in-the argument to-go-through
βέλτιον.
better
SOC. καθ' ἓν ἕκαστον τοίνυν τῶν τριῶν πρὸς τὴν
according-to one each then of-the three in-relation-to the
ἡδονὴν καὶ τὸν νοῦν κρίνωμεν· δεῖ γὰρ ἰδεῖν ποτέρῳ
pleasure and the mind let-us-judge one-must for to-see to-which-of-the-two
ὡς μᾶλλον συγγενὲς ἕκαστον αὐτῶν ἀπονεμοῦμεν.
as more akin each of-them we-shall-assign
PROT. κάλλους καὶ ἀληθείας καὶ μετριότητος πέρι λέγεις;
of-beauty and of-truth and of-measuredness about do-you-mean
SOC. ναί. πρῶτον δέ γε ἀληθείας λαβοῦ, ὦ Πρώταρχε· c
yes first and at-least truth take O Protarchus
καὶ λαβόμενος βλέψας εἰς τρία, νοῦν καὶ ἀλήθειαν καὶ
and having-taken looking at three mind and truth and
ἡδονήν, πολὺν ἐπισχὼν χρόνον ἀπόκριναι σαυτῷ πότερον
pleasure much having-waited time answer yourself whether
ἡδονὴ συγγενέστερον ἢ νοῦς ἀληθείᾳ.
pleasure more-akin or mind to-truth
PROT. τί δὲ χρόνου δεῖ; πολὺ γὰρ οἶμαι διαφέρετον. d
what and of-time is-needed much for I-think the-two-differ
ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονίστατον, ὡς δὲ λόγος,
pleasure indeed for of-all most-boastful as and the-story(-goes)

καὶ ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τἀφροδίσια, αἳ δὴ
also in the pleasures the about the-things-of-Aphrodite which indeed
μέγισται δοκοῦσιν εἶναι, καὶ τὸ ἐπιορκεῖν συγγνώμην
greatest seem to-be also the perjury pardon
εἴληφε παρὰ θεῶν, ὡς καθάπερ παίδων τῶν ἡδονῶν νοῦν
has-received from gods as like children the pleasures mind
οὐδὲ τὸν ὀλίγιστον κεκτημένων· νοῦς δὲ ἤτοι ταὐτὸν καὶ
not-even the least having mind and either the-same also
ἀλήθειά ἐστιν ἢ πάντων ὁμοιότατόν τε καὶ ἀληθέστατον.
truth is or of-all most-like both and truest
SOC. οὐκοῦν τὸ μετὰ τοῦτο τὴν μετριότητα ὡσαύτως
therefore the(-thing) after this the measuredness likewise
σκέψαι, πότερον ἡδονὴ φρονήσεως ἢ φρόνησις ἡδονῆς
consider whether pleasure than-prudence or prudence than-pleasure
πλείω κέκτηται;
more has
PROT. εὔσκεπτόν γε καὶ ταύτην σκέψιν προβέβληκας·
easy-to-consider at-least also this consideration you-have-put-forward
οἶμαι γὰρ ἡδονῆς μὲν καὶ περιχαρείας οὐδὲν τῶν ὄντων
I-think for than-pleasure indeed and excessive-joy nothing of-the beings
πεφυκὸς ἀμετρώτερον εὑρεῖν ἄν τινα, νοῦ δὲ καὶ
being-by-nature more-measureless to-find — one than-mind and also
ἐπιστήμης ἐμμετρώτερον οὐδ' ἂν ἕν ποτε.
than-knowledge more-measured not-even — one ever
e SOC. καλῶς εἴρηκας. ὅμως δ' ἔτι λέγε τὸ τρίτον. νοῦς
well you-have-spoken nevertheless and still say the third mind
ἡμῖν κάλλους μετείληφε πλεῖον ἢ τὸ τῆς ἡδονῆς γένος,
for-us of-beauty has-partaken more than the of-the pleasure kind
ὥστε εἶναι καλλίω νοῦν ἡδονῆς, ἢ τοὐναντίον;
so-that to-be finer mind than-pleasure or the-opposite

PROT. ἀλλ᾽ οὖν φρόνησιν μὲν καὶ νοῦν, ὦ Σώκρατες,
but then prudence indeed and mind O Socrates
οὐδεὶς πώποτε οὔθ᾽ ὕπαρ οὔτ᾽ ὄναρ αἰσχρὸν οὔτε εἶδεν
no-one ever either awake or in-a-dream shameful either saw
οὔτε ἐπενόησεν οὐδαμῇ οὐδαμῶς οὔτε γιγνόμενον οὔτε
or conceived in-any-place in-any-way either becoming or
ὄντα οὔτε ἐσόμενον.
being or going-to-be
SOC. ὀρθῶς.
rightly
PROT. ἡδονὰς δέ γέ που, καὶ ταῦτα σχεδὸν τὰς μεγίστας, 66
pleasures but at-least surely and these nearly the greatest
ὅταν ἴδωμεν ἡδόμενον ὁντινοῦν, ἢ τὸ γελοῖον ἐπ᾽
whenever we-see feeling-pleasure anyone-whatever or the ridiculous on
αὐταῖς ἢ τὸ πάντων αἴσχιστον ἑπόμενον ὁρῶντες αὐτοί
them or the of-all most-shameful following seeing ourselves
τε αἰσχυνόμεθα καὶ ἀφανίζοντες κρύπτομεν ὅτι μάλιστα,
both we-are-ashamed and making-disappear we-hide as most
νυκτὶ πάντα τὰ τοιαῦτα διδόντες, ὡς φῶς οὐ δέον
to-the-night all the such giving as light not it-being-needful
ὁρᾶν αὐτά.
to-see them
SOC. πάντῃ δὴ φήσεις, ὦ Πρώταρχε, ὑπό τε ἀγγέλων
everywhere indeed you-will-say O Protarchus by both messengers
πέμπων καὶ παροῦσι φράζων, ὡς ἡδονὴ κτῆμα οὐκ ἔστι
sending and to-those-present telling that pleasure possession not is
πρῶτον οὐδ᾽ αὖ δεύτερον, ἀλλὰ πρῶτον μέν πῃ περὶ
first nor again second but first indeed somewhere about
μέτρον καὶ τὸ μέτριον καὶ καίριον καὶ πάντα ὁπόσα
measure and the measured and timely and all as-many-as
χρὴ τοιαῦτα νομίζειν, τὴν ἀίδιον ᾑρῆσθαι.
one-must such to-believe the eternal to-have-been-chosen

PROT. φαίνεται γοῦν ἐκ τῶν νῦν λεγομένων.
it-appears at-any-rate from the now said(-things)

b SOC. δεύτερον μὴν περὶ τὸ σύμμετρον καὶ καλὸν καὶ τὸ
second indeed about the commensurate and beautiful and the
τέλεον καὶ ἱκανὸν καὶ πάνθ' ὁπόσα τῆς γενεᾶς αὖ
complete and sufficient and all as-many-as of-the generation again
ταύτης ἐστίν.
this are

PROT. ἔοικε γοῦν.
it-seems at-any-rate

SOC. τὸ τοίνυν τρίτον, ὡς ἡ ἐμὴ μαντεία, νοῦν καὶ φρόνησιν
the then third as the my divination mind and prudence
τιθεὶς οὐκ ἂν μέγα τι τῆς ἀληθείας παρεξέλθοις.
setting not — great anything of-the truth you-would-go-beyond

PROT. ἴσως.
perhaps

c SOC. ἆρ' οὖν οὐ τέταρτα, ἃ τῆς ψυχῆς αὐτῆς ἔθεμεν,
so then not fourth(-things) which of-the soul itself we-set
ἐπιστήμας τε καὶ τέχνας καὶ δόξας ὀρθὰς λεχθείσας,
knowledges both and arts and opinions right called
ταῦτ' εἶναι τὰ πρὸς τοῖς τρισὶ τέταρτα, εἴπερ τοῦ ἀγαθοῦ
these to-be the besides the three fourth if-indeed of-the good
γέ ἐστι μᾶλλον τῆς ἡδονῆς συγγενῆ;
at-least it-is more than-the pleasure akin

PROT. τάχ' ἄν.
perhaps —

SOC. πέμπτας τοίνυν, ἃς ἡδονὰς ἔθεμεν ἀλύπους ὁρισάμενοι,
fifth then which pleasures we-set painless having-defined
καθαρὰς ἐπονομάσαντες τῆς ψυχῆς αὐτῆς, ἐπιστήμαις,
pure having-named of-the soul itself to-knowledges
τὰς δὲ αἰσθήσεσιν ἑπομένας;
the(-ones) and to-perceptions following

PROT. ἴσως.
perhaps

SOC. "ἕκτῃ δ' ἐν γενεᾷ," φησὶν Ὀρφεύς, "καταπαύσατε d
in-sixth and in generation says Orpheus cease
κόσμον ἀοιδῆς·" ἀτὰρ κινδυνεύει καὶ ὁ ἡμέτερος λόγος
order of-song but it-is-likely also the our argument
ἐν ἕκτῃ καταπεπαυμένος εἶναι κρίσει. τὸ δὴ μετὰ
in sixth having-ceased to-be judgment the(-thing) indeed after
ταῦθ' ἡμῖν οὐδὲν λοιπὸν πλὴν ὥσπερ κεφαλὴν ἀποδοῦναι
these-things for-us nothing remains except as a-head to-give
τοῖς εἰρημένοις.
to-the things-said

PROT. οὐκοῦν χρή.
therefore must(-we)

SOC. ἴθι δή, τὸ τρίτον τῷ σωτῆρι τὸν αὐτὸν
come indeed the third(-cup) to-the savior the same
διαμαρτυράμενοι λόγον ἐπεξέλθωμεν.
calling-to-witness argument let-us-go-through

PROT. ποῖον δή;
what-sort indeed

SOC. Φίληβος τἀγαθὸν ἐτίθετο ἡμῖν ἡδονὴν εἶναι πᾶσαν
Philebus the-good set for-us pleasure to-be all
καὶ παντελῆ.
and complete

PROT. τὸ τρίτον, ὦ Σώκρατες, ὡς ἔοικας, ἔλεγες
the third(-time) O Socrates as you-seem you-were-saying
ἀρτίως τὸν ἐξ ἀρχῆς ἐπαναλαβεῖν δεῖν λόγον.
just-now the from (the)-beginning to-take-up-again to-be-necessary argument

SOC. ναί, τὸ δέ γε μετὰ τοῦτο ἀκούωμεν. ἐγὼ e
yes the(-thing) and at-least after this let-us-hear I
γὰρ δὴ κατιδὼν ἅπερ νυνδὴ διελήλυθα, καὶ
for indeed having-seen-clearly what-very just-now I-have-gone-through and

δυσχεράνας τὸν Φιλήβου λόγον οὐ μόνον ἀλλὰ καὶ
having-been-vexed-at the of-Philebus argument not only but also
ἄλλων πολλάκις μυρίων, εἶπον ὡς ἡδονῆς γε νοῦς
of-others often ten-thousand I-said that than-pleasure at-least mind
εἴη μακρῷ βέλτιόν τε καὶ ἄμεινον τῷ τῶν ἀνθρώπων
would-be by-far better both and superior for-the of-the men
βίῳ.
life

PROT. ἦν ταῦτα.
it-was these-things

SOC. ὑποπτεύων δέ γε καὶ ἄλλα εἶναι πολλὰ εἶπον ὡς
suspecting and at-least also others to-be many I-said that
εἰ φανείη τι τούτοιν ἀμφοῖν βέλτιον, ὑπὲρ τῶν
if should-appear something than-these both better on-behalf-of the
δευτερείων νῷ πρὸς ἡδονὴν συνδιαμαχοίμην, ἡδονὴ δὲ
second-prizes with-mind against pleasure I-would-fight-it-out pleasure and
καὶ δευτερείων στερήσοιτο.
even of-second-prizes would-be-deprived

67 PROT. εἶπες γὰρ οὖν.
you-said for indeed

SOC. καὶ μετὰ ταῦτά γε πάντων ἱκανώτατα τούτοιν
and after these-things at-least of-all most-sufficiently of-these-two
οὐδέτερον ἱκανὸν ἐφάνη.
neither sufficient appeared

PROT. ἀληθέστατα.
most-truly

SOC. οὐκοῦν παντάπασιν ἐν τούτῳ τῷ λόγῳ καὶ νοῦς
therefore altogether in this the argument both mind
ἀπήλλακτο καὶ ἡδονὴ μή τοι τἀγαθόν γε αὐτὸ μηδ'
had-been-dismissed and pleasure not surely the-good at-least itself nor

ἕτερον αὐτοῖν εἶναι, στερομένοιν αὐταρκείας καὶ τῆς
either of-them to-be being-deprived-the-two of-self-sufficiency and of-the
τοῦ ἱκανοῦ καὶ τελέου δυνάμεως;
of-the sufficient and complete power

PROT. ὀρθότατα.
most-rightly

SOC. φανέντος δέ γε ἄλλου τρίτου κρείττονος τούτοιν
having-appeared and at-least another third stronger than-these-two
ἑκατέρου, μυρίῳ γ' αὖ νοῦς ἡδονῆς οἰκειότερον
each ten-thousand-fold at-least again mind than-pleasure more-akin
καὶ προσφυέστερον πέφανται νῦν τῇ τοῦ νικῶντος ἰδέᾳ.
and more-naturally-attached has-been-shown now to-the of-the winning form

PROT. πῶς γὰρ οὔ;
how for not

SOC. οὐκοῦν πέμπτον κατὰ τὴν κρίσιν, ἣν νῦν ὁ λόγος
therefore fifth according-to the judgment which now the argument
ἀπεφήνατο, γίγνοιτ' ἂν ἡ τῆς ἡδονῆς δύναμις.
declared would-be — the of-the pleasure power

PROT. ἔοικεν.
it-seems

SOC. πρῶτον δέ γε οὐδ' ἂν οἱ πάντες βόες τε καὶ b
first but at-least not-even if the all oxen both and
ἵπποι καὶ τἆλλα σύμπαντα θηρία φῶσι τῷ τὸ χαίρειν
horses and the-other all beasts say(-so) by-the the to-rejoice
διώκειν· οἷς πιστεύοντες, ὥσπερ μάντεις ὄρνισιν, οἱ πολλοὶ
to-pursue whom trusting as seers in-birds the many
κρίνουσι τὰς ἡδονὰς εἰς τὸ ζῆν ἡμῖν εὖ κρατίστας εἶναι,
judge the pleasures for the to-live for-us well strongest to-be
καὶ τοὺς θηρίων ἔρωτας οἴονται κυρίους εἶναι μάρτυρας
and the of-beasts loves they-think authoritative to-be witnesses

μᾶλλον ἢ τοὺς τῶν ἐν μούσῃ φιλοσόφῳ μεμαντευμένων
rather than the of-the in muse philosophic having-been-divined
ἑκάστοτε λόγων.
each-time arguments

PROT. ἀληθέστατα, ὦ Σώκρατες, εἰρῆσθαί σοι νῦν ἤδη
most-truly O Socrates to-have-been-said by-you now already
φαμὲν ἅπαντες.
we-say all

SOC. οὐκοῦν καὶ ἀφίετέ με;
therefore also do-you-release me

PROT. σμικρὸν ἔτι τὸ λοιπόν, ὦ Σώκρατες· οὐ γὰρ δήπου
small still the remainder O Socrates not for surely
σύ γε ἀπερεῖς πρότερος ἡμῶν, ὑπομνήσω δέ σε τὰ
you at-least will-give-out before us I-shall-remind but you the(-things)
λειπόμενα.
remaining

PLATO

ΠΑΡΜΕΝΙΔΗΣ

Parmenides

Cephalus and his friends from Clazomenae meet Adeimantus and Glaucon in the market and ask for the brothers' half-brother Antiphon, who learned by heart from Pythodorus the talk of Socrates, Zeno, and Parmenides. Antiphon, found at home giving a bridle to the smith, tells it after some hesitation: at the Great Panathenaea Parmenides, about sixty-five, and Zeno, about forty, lodged with Pythodorus, and the young Socrates heard Zeno read. Socrates asks Zeno whether he means that if things are many, they must be both like and unlike, which is impossible, so every argument of his is proof that things are not many.

ἐπειδὴ Ἀθήναζε οἴκοθεν ἐκ Κλαζομενῶν ἀφικόμεθα, κατ' 126
when to-Athens from-home from Clazomenae we-arrived in
ἀγορὰν ἐνετύχομεν Ἀδειμάντῳ τε καὶ Γλαύκωνι· καί
the-market we-met-with Adeimantus both and Glaucon and
μου λαβόμενος τῆς χειρὸς ὁ Ἀδείμαντος, Χαῖρ', ἔφη, ὦ
me taking by-the hand — Adeimantus Greetings he-said O
Κέφαλε, καὶ εἴ του δέῃ τῶν τῇδε ὧν ἡμεῖς
Cephalus and if of-anything you-need of-the(-things) here of-which we
δυνατοί, φράζε.
(are)-able tell
ἀλλὰ μὲν δή, εἶπον ἐγώ, πάρειμί γε ἐπ' αὐτὸ τοῦτο,
but indeed indeed said I I-am-here at-least for itself this
δεησόμενος ὑμῶν.
going-to-ask of-you
λέγοις ἄν, ἔφη, τὴν δέησιν.
you-may-tell — he-said the request
καὶ ἐγὼ εἶπον· τῷ ἀδελφῷ ὑμῶν τῷ ὁμομητρίῳ τί ἦν b
and I said to-the brother your the of-the-same-mother what was
ὄνομα; οὐ γὰρ μέμνημαι. παῖς δέ που ἦν, ὅτε τὸ πρότερον
name not for I-remember a-boy and surely he-was when the former(-time)

ἐπεδήμησα δεῦρο ἐκ Κλαζομενῶν· πολὺς δὲ ἤδη χρόνος ἐξ
I-stayed here from Clazomenae long and already time from
ἐκείνου. τῷ μὲν γὰρ πατρί, δοκῶ, Πυριλάμπης ὄνομα.
that(-time) to-the indeed for father I-think Pyrilampes (was-the)-name
πάνυ γε, ἔφη.
certainly at-least he-said
αὐτῷ δέ γε;
to-him and at-least
Ἀντιφῶν. ἀλλὰ τί μάλιστα πυνθάνῃ;
Antiphon but why most do-you-inquire
c οἵδε, εἶπον ἐγώ, πολῖταί τ' ἐμοί εἰσι, μάλα φιλόσοφοι,
these(-men) said I citizens both to-me are very philosophic
ἀκηκόασί τε ὅτι οὗτος ὁ Ἀντιφῶν Πυθοδώρῳ τινὶ
they-have-heard and that this — Antiphon with-Pythodorus some
Ζήνωνος ἑταίρῳ πολλὰ ἐντετύχηκε, καὶ τοὺς λόγους, οὕς
of-Zeno companion much has-met and the arguments which
ποτε Σωκράτης καὶ Ζήνων καὶ Παρμενίδης διελέχθησαν,
once Socrates and Zeno and Parmenides discussed
πολλάκις ἀκούσας τοῦ Πυθοδώρου ἀπομνημονεύει.
often having-heard from-the Pythodorus he-remembers
ἀληθῆ, ἔφη, λέγεις.
true-things he-said you-say
τούτων τοίνυν, εἶπον, δεόμεθα διακοῦσαι.
these then said-I we-ask to-hear-through
ἀλλ' οὐ χαλεπόν, ἔφη· μειράκιον γὰρ ὢν αὐτοὺς εὖ
but not hard he-said a-lad for being them well
μάλα διεμελέτησεν, ἐπεὶ νῦν γε κατὰ τὸν πάππον τε
very he-studied since now at-least according-to the grandfather both
καὶ ὁμώνυμον πρὸς ἱππικῇ τὰ πολλὰ διατρίβει. ἀλλ'
and namesake on horsemanship the most(-time) he-spends but

εἰ δεῖ, ἴωμεν παρ᾽ αὐτόν· ἄρτι γὰρ ἐνθένδε οἴκαδε
if one-must let-us-go to him just-now for from-here homeward
οἴχεται, οἰκεῖ δὲ ἐγγὺς ἐν Μελίτῃ.
he-has-gone he-lives and near in Melite
ταῦτα εἰπόντες ἐβαδίζομεν, καὶ κατελάβομεν τὸν 127
these-things having-said we-walked and we-found —
Ἀντιφῶντα οἴκοι, χαλινόν τινα χαλκεῖ ἐκδιδόντα σκευάσαι·
Antiphon at-home a-bridle some to-a-smith handing-over to-prepare
ἐπειδὴ δὲ ἐκείνου ἀπηλλάγη οἵ τε ἀδελφοὶ ἔλεγον αὐτῷ
when and that(-man) was-rid the both brothers told him
ὧν ἕνεκα παρεῖμεν, ἀνεγνώρισέν τέ με ἐκ τῆς
for-what for-the-sake-of we-were-there he-recognized both me from the
προτέρας ἐπιδημίας καί με ἠσπάζετο, καὶ δεομένων ἡμῶν
former stay and me he-greeted and asking us
διελθεῖν τοὺς λόγους, τὸ μὲν πρῶτον ὤκνει — πολὺ γὰρ
to-go-through the arguments the indeed first he-hesitated much for
ἔφη ἔργον εἶναι — ἔπειτα μέντοι διηγεῖτο. ἔφη δὲ δὴ
he-said work to-be then however he-related said and indeed
ὁ Ἀντιφῶν λέγειν τὸν Πυθόδωρον ὅτι ἀφίκοιντό ποτε εἰς
— Antiphon to-say — Pythodorus that they-came once to
Παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Παρμενίδης. τὸν μὲν
Panathenaea the great Zeno both and Parmenides — indeed
οὖν Παρμενίδην εὖ μάλα ἤδη πρεσβύτην εἶναι, σφόδρα
then Parmenides well very already old-man to-be very
πολιόν, καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν, περὶ ἔτη μάλιστα
gray fine and and-good the appearance about years especially
πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ ἐγγὺς τῶν τετταράκοντα
five and sixty Zeno and near the forty
τότε εἶναι, εὐμήκη δὲ καὶ χαρίεντα ἰδεῖν, καὶ λέγεσθαι
then to-be tall and also graceful to-see and to-be-said
αὐτὸν παιδικὰ τοῦ Παρμενίδου γεγονέναι. καταλύειν δὲ
him darling of-the Parmenides to-have-been to-lodge and

αὐτοὺς ἔφη παρὰ τῷ Πυθοδώρῳ ἐκτὸς τείχους ἐν
them he-said with — Pythodorus outside wall in
Κεραμεικῷ· οἷ δὴ καὶ ἀφικέσθαι τόν τε Σωκράτη καὶ
Ceramicus whither indeed also to-come the both Socrates and
ἄλλους τινὰς μετ' αὐτοῦ πολλούς, ἐπιθυμοῦντας ἀκοῦσαι
others some with him many desiring to-hear
τῶν τοῦ Ζήνωνος γραμμάτων — τότε γὰρ αὐτὰ πρῶτον
the of-the Zeno writings then for them first
ὑπ' ἐκείνων κομισθῆναι — Σωκράτη δὲ εἶναι τότε σφόδρα
by those to-have-been-brought Socrates and to-be then very
νέον. ἀναγιγνώσκειν οὖν αὐτοῖς τὸν Ζήνωνα αὐτόν, τὸν
young to-read then to-them the Zeno himself the
δὲ Παρμενίδην τυχεῖν ἔξω ὄντα· καὶ εἶναι πάνυ βραχὺ
and Parmenides to-happen outside being and to-be very little
ἔτι λοιπὸν τῶν λόγων ἀναγιγνωσκομένων, ἡνίκα αὐτός τε
still remaining of-the arguments being-read when himself both
ἐπεισελθεῖν ἔφη ὁ Πυθόδωρος ἔξωθεν καὶ τὸν Παρμενίδην
to-come-in-besides said — Pythodorus from-outside and — Parmenides
μετ' αὐτοῦ καὶ Ἀριστοτέλη τὸν τῶν τριάκοντα γενόμενον,
with him and Aristoteles the(-one) of-the thirty having-become
καὶ σμίκρ' ἄττα ἔτι ἐπακοῦσαι τῶν γραμμάτων· οὐ μὴν
and small some(-things) still to-hear of-the writings not indeed
αὐτός γε, ἀλλὰ καὶ πρότερον ἀκηκοέναι τοῦ Ζήνωνος.
himself at-least but even before to-have-heard from-the Zeno
e τὸν οὖν Σωκράτη ἀκούσαντα πάλιν τε κελεῦσαι τὴν πρώτην
— then Socrates having-heard again both to-bid the first
ὑπόθεσιν τοῦ πρώτου λόγου ἀναγνῶναι, καὶ ἀναγνωσθείσης,
hypothesis of-the first argument to-read and having-been-read
πῶς, φάναι, ὦ Ζήνων, τοῦτο λέγεις; εἰ πολλά ἐστι τὰ
how to-say O Zeno this do-you-mean if many are the
ὄντα, ὡς ἄρα δεῖ αὐτὰ ὅμοιά τε εἶναι καὶ ἀνόμοια,
beings that then one-must them like both to-be and unlike

τοῦτο δὲ δὴ ἀδύνατον· οὔτε γὰρ τὰ ἀνόμοια ὅμοια οὔτε
this but indeed impossible neither for the unlike like nor
τὰ ὅμοια ἀνόμοια οἷόν τε εἶναι; οὐχ οὕτω λέγεις;
the like unlike possible — to-be not so do-you-mean
οὕτω, φάναι τὸν Ζήνωνα.
so to-say — Zeno
οὐκοῦν εἰ ἀδύνατον τά τε ἀνόμοια ὅμοια εἶναι καὶ τὰ 128
therefore if impossible the both unlike like to-be and the
ὅμοια ἀνόμοια, ἀδύνατον δὴ καὶ πολλὰ εἶναι; εἰ γὰρ
like unlike impossible indeed also many to-be if for
πολλὰ εἴη, πάσχοι ἂν τὰ ἀδύνατα. ἆρα τοῦτό
many there-were would-suffer — the(-things) impossible-things then this
ἐστιν ὃ βούλονταί σου οἱ λόγοι, οὐκ ἄλλο τι ἢ
is what wish your the arguments not other anything than
διαμάχεσθαι παρὰ πάντα τὰ λεγόμενα ὡς οὐ πολλά
to-contend against all the(-things) said that not many
ἐστι; καὶ τούτου αὐτοῦ οἴει σοι τεκμήριον εἶναι
is and of-this itself do-you-think to-you evidence to-be
ἕκαστον τῶν λόγων, ὥστε καὶ ἡγῇ τοσαῦτα τεκμήρια
each of-the arguments so-that also you-consider so-many evidences
παρέχεσθαι, ὅσουσπερ λόγους γέγραφας, ὡς οὐκ ἔστι
to-furnish as-many-as arguments you-have-written that not is
πολλά; οὕτω λέγεις, ἢ ἐγὼ οὐκ ὀρθῶς καταμανθάνω;
many so do-you-mean or I not rightly understand

Socrates tells Parmenides that Zeno's book says what Parmenides says in other words: one says all is one, the other that it is not many. Zeno answers that the book defends Parmenides against those who mock him, by showing that the hypothesis of the many has still more absurd results; he wrote it young, out of love of contention, and it was stolen. Socrates replies that there are forms of likeness and unlikeness, and things share in both, which is no wonder; he himself is one and many. But forms themselves mixing and separating would amaze him.

οὔκ, ἀλλά, φάναι τὸν Ζήνωνα, καλῶς συνῆκας ὅλον
no but to-say — Zeno well you-have-understood whole
τὸ γράμμα ὃ βούλεται.
the writing what it-means
b μανθάνω, εἰπεῖν τὸν Σωκράτη, ὦ Παρμενίδη, ὅτι Ζήνων
I-understand to-say — Socrates O Parmenides that Zeno
ὅδε οὐ μόνον τῇ ἄλλῃ σου φιλίᾳ βούλεται ὠκειῶσθαι,
here not only by-the other your friendship wishes to-have-been-made-akin
ἀλλὰ καὶ τῷ συγγράμματι. ταὐτὸν γὰρ γέγραφε τρόπον
but also by-the treatise the-same for he-has-written in-way
τινὰ ὅπερ σύ, μεταβάλλων δὲ ἡμᾶς πειρᾶται ἐξαπατᾶν
some which-very you changing but us he-tries to-deceive
ὡς ἕτερόν τι λέγων. σὺ μὲν γὰρ ἐν τοῖς ποιήμασιν
as other something saying you indeed for in the poems
ἓν φῂς εἶναι τὸ πᾶν, καὶ τούτων τεκμήρια παρέχῃ καλῶς
one you-say to-be the all and of-these evidences you-furnish finely
τε καὶ εὖ· ὅδε δὲ αὖ οὐ πολλά φησιν εἶναι, τεκμήρια
both and well he-here and again not many says to-be evidences
δὲ καὶ αὐτὸς πάμπολλα καὶ παμμεγέθη παρέχεται. τὸ
and also himself very-many and very-great furnishes the
οὖν τὸν μὲν ἓν φάναι, τὸν δὲ μὴ πολλά, καὶ
then the(-one) indeed one to-say the(-other) and not many and

οὕτως ἑκάτερον λέγειν ὥστε μηδὲν τῶν αὐτῶν εἰρηκέναι
so each to-speak so-that nothing of-the same to-have-said
δοκεῖν σχεδόν τι λέγοντας ταὐτά, ὑπὲρ ἡμᾶς τοὺς
to-seem nearly something saying the-same-things beyond us the
ἄλλους φαίνεται ὑμῖν τὰ εἰρημένα εἰρῆσθαι.
others appears to-you the things-said to-have-been-said
ναί, φάναι τὸν Ζήνωνα, ὦ Σώκρατες. σὺ δ' οὖν τὴν c
yes to-say — Zeno O Socrates you and then the
ἀλήθειαν τοῦ γράμματος οὐ πανταχοῦ ᾔσθησαι. καίτοι
truth of-the writing not everywhere you-have-perceived and-yet
ὥσπερ γε αἱ Λάκαιναι σκύλακες εὖ μεταθεῖς τε καὶ
as at-least the Laconian puppies well you-run-after both and
ἰχνεύεις τὰ λεχθέντα· ἀλλὰ πρῶτον μέν σε τοῦτο λανθάνει,
track the things-said but first indeed you this escapes
ὅτι οὐ παντάπασιν οὕτω σεμνύνεται τὸ γράμμα, ὥστε
that not altogether so gives-itself-airs the writing so-that
ἅπερ σὺ λέγεις διανοηθὲν γραφῆναι, τοὺς ἀνθρώπους
what-very you say having-been-thought to-have-been-written the men
δὲ ἐπικρυπτόμενον ὥς τι μέγα διαπραττόμενον· ἀλλὰ
but concealing as something great accomplishing but
σὺ μὲν εἶπες τῶν συμβεβηκότων τι, ἔστι δὲ τό
you indeed mentioned of-the accidents something it-is but the
γε ἀληθὲς βοήθειά τις ταῦτα τῷ Παρμενίδου λόγῳ
at-least truth a-defense some these-things for-the of-Parmenides argument
πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν ὡς εἰ ἕν ἐστι,
against the(-men) attempting him to-mock that if one is
πολλὰ καὶ γελοῖα συμβαίνει πάσχειν τῷ λόγῳ καὶ
many and ridiculous(-things) result to-suffer for-the argument and
ἐναντία αὑτῷ. ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα
opposite(-things) to-itself it-speaks-against indeed then this the writing
πρὸς τοὺς τὰ πολλὰ λέγοντας, καὶ ἀνταποδίδωσι ταὐτὰ
against the(-men) the many saying and pays-back the-same

καὶ πλείω, τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα
and more this wishing to-show that still more-ridiculous
πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, εἰ πολλά ἐστιν, ἢ
would-suffer — their the hypothesis if many is than
ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι. διὰ
the(-hypothesis) of-the one to-be if one sufficiently should-follow-out through
τοιαύτην δὴ φιλονικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη,
such indeed love-of-contention by young being me it-was-written
καί τις αὐτὸ ἔκλεψε γραφέν, ὥστε οὐδὲ βουλεύσασθαι
and someone it stole written so-that not-even to-deliberate
ἐξεγένετο εἴτ' ἐξοιστέον αὐτὸ εἰς τὸ φῶς εἴτε μή.
was-possible whether must-be-brought-out it into the light or not
ταύτῃ οὖν σε λανθάνει, ὦ Σώκρατες, ὅτι οὐχ ὑπὸ νέου
in-this-way then you it-escapes O Socrates that not by young
φιλονικίας οἴει αὐτὸ γεγράφθαι, ἀλλ' ὑπὸ πρεσβυτέρου
love-of-contention you-think it to-have-been-written but by older
φιλοτιμίας· ἐπεί, ὅπερ γ' εἶπον, οὐ κακῶς ἀπῄκασας.
love-of-honor since which-very at-least I-said not badly you-likened(-it)
129 ἀλλ' ἀποδέχομαι, φάναι τὸν Σωκράτη, καὶ ἡγοῦμαι ὡς
but I-accept to-say — Socrates and I-think as
λέγεις ἔχειν. τόδε δέ μοι εἰπέ· οὐ νομίζεις εἶναι αὐτὸ καθ'
you-say to-hold this and me tell not do-you-believe to-be itself by
αὐτὸ εἶδός τι ὁμοιότητος, καὶ τῷ τοιούτῳ αὖ ἄλλο τι
itself a-form some of-likeness and to-the such again another something
ἐναντίον, ὃ ἔστιν ἀνόμοιον· τούτοιν δὲ δυοῖν ὄντοιν καὶ ἐμὲ
opposite which is unlike of-these-two and two being both me
καὶ σὲ καὶ τἆλλα ἃ δὴ πολλὰ καλοῦμεν μεταλαμβάνειν;
and you and the-others which indeed many we-call to-take-a-share
καὶ τὰ μὲν τῆς ὁμοιότητος μεταλαμβάνοντα ὅμοια
and the(-things) indeed of-the likeness taking-a-share like
γίγνεσθαι ταύτῃ τε καὶ κατὰ τοσοῦτον ὅσον ἂν
to-become in-this-way both and to so-much as-much-as —

μεταλαμβάνῃ, τὰ δὲ τῆς ἀνομοιότητος ἀνόμοια, τὰ
they-take-a-share the(-things) and of-the unlikeness unlike the(-things)
δὲ ἀμφοτέρων ἀμφότερα; εἰ δὲ καὶ πάντα ἐναντίων ὄντων
and of-both both if and even all-things opposite being
ἀμφοτέρων μεταλαμβάνει, καὶ ἔστι τῷ μετέχειν ἀμφοῖν
both take-a-share and are by-the partaking of-both
ὅμοιά τε καὶ ἀνόμοια αὐτὰ αὑτοῖς, τί θαυμαστόν; εἰ
like both and unlike themselves to-themselves what wonderful if
μὲν γὰρ αὐτὰ τὰ ὅμοιά τις ἀπέφαινεν ἀνόμοια γιγνόμενα
indeed for themselves the like-things one showed unlike becoming
ἢ τὰ ἀνόμοια ὅμοια, τέρας ἂν οἶμαι ἦν· εἰ δὲ
or the unlike like a-monster — I-think it-would-be if and
τὰ τούτων μετέχοντα ἀμφοτέρων ἀμφότερα ἀποφαίνει
the(-things) of-these partaking both both he-shows
πεπονθότα, οὐδὲν ἔμοιγε, ὦ Ζήνων, ἄτοπον δοκεῖ, οὐδέ
having-experienced nothing to-me-at-least O Zeno strange seems nor
γε εἰ ἓν ἅπαντα ἀποφαίνει τις τῷ μετέχειν τοῦ ἑνὸς
at-least if one all-things he-shows one by-the partaking of-the one
καὶ ταὐτὰ ταῦτα πολλὰ τῷ πλήθους αὖ μετέχειν.
and the-same these many by-the of-multitude again partaking
ἀλλ' εἰ ὃ ἔστιν ἕν, αὐτὸ τοῦτο πολλὰ ἀποδείξει καὶ αὖ c
but if what is one itself this many he-will-show and again
τὰ πολλὰ δὴ ἕν, τοῦτο ἤδη θαυμάσομαι. καὶ περὶ τῶν
the many indeed one this then I-shall-wonder and about the
ἄλλων ἁπάντων ὡσαύτως· εἰ μὲν αὐτὰ τὰ γένη τε καὶ
others all likewise if indeed themselves the kinds both and
εἴδη ἐν αὑτοῖς ἀποφαίνοι τἀναντία ταῦτα πάθη πάσχοντα,
forms in themselves he-should-show the-opposite these experiences undergoing
ἄξιον θαυμάζειν· εἰ δ' ἐμὲ ἕν τις ἀποδείξει ὄντα καὶ
worth to-wonder if but me one someone will-show being and
πολλά, τί θαυμαστόν, λέγων, ὅταν μὲν βούληται πολλὰ
many what wonderful saying whenever indeed he-wishes many

ἀποφῆναι, ὡς ἕτερα μὲν τὰ ἐπὶ δεξιά μού ἐστιν, ἕτερα
to-show that other indeed the(-parts) on right of-me are other
δὲ τὰ ἐπ᾽ ἀριστερά, καὶ ἕτερα μὲν τὰ πρόσθεν,
and the(-parts) on left and other indeed the(-parts) in-front
ἕτερα δὲ τὰ ὄπισθεν, καὶ ἄνω καὶ κάτω ὡσαύτως —
other and the(-parts) behind and up and down likewise
πλήθους γὰρ οἶμαι μετέχω — ὅταν δὲ ἕν, ἐρεῖ ὡς
of-multitude for I-think I-partake whenever and one he-will-say that
ἑπτὰ ἡμῶν ὄντων εἷς ἐγώ εἰμι ἄνθρωπος μετέχων καὶ
seven of-us being one I am man partaking also
τοῦ ἑνός· ὥστε ἀληθῆ ἀποφαίνει ἀμφότερα. ἐὰν οὖν τις
of-the one so-that true-things he-shows both if then one
τοιαῦτα ἐπιχειρῇ πολλὰ καὶ ἓν ταὐτὸν ἀποφαίνειν, λίθους
such-things should-attempt many and one the-same to-show stones
καὶ ξύλα καὶ τὰ τοιαῦτα, τὶ φήσομεν αὐτὸν πολλὰ
and logs and the such something we-shall-say him many
καὶ ἓν ἀποδεικνύναι, οὐ τὸ ἓν πολλὰ οὐδὲ τὰ πολλὰ
and one to-show not the one many nor the many
ἕν, οὐδέ τι θαυμαστὸν λέγειν, ἀλλ᾽ ἅπερ ἂν πάντες
one nor anything wonderful to-say but what-very — all
ὁμολογοῖμεν· ἐὰν δέ τις ὧν νυνδὴ ἐγὼ ἔλεγον πρῶτον
would-agree if and one of-which just-now I was-saying first
μὲν διαιρῆται χωρὶς αὐτὰ καθ᾽ αὑτὰ τὰ εἴδη, οἷον
indeed should-distinguish apart themselves by themselves the forms as
ὁμοιότητά τε καὶ ἀνομοιότητα καὶ πλῆθος καὶ τὸ ἓν
likeness both and unlikeness and multitude and the one
καὶ στάσιν καὶ κίνησιν καὶ πάντα τὰ τοιαῦτα, εἶτα ἐν
and rest and motion and all the such then in
ἑαυτοῖς ταῦτα δυνάμενα συγκεράννυσθαι καὶ διακρίνεσθαι
themselves these able to-be-mixed and to-be-separated
ἀποφαίνῃ, ἀγαίμην ἂν ἔγωγ᾽, ἔφη, θαυμαστῶς, ὦ Ζήνων.
should-show would-admire — I-at-least he-said wondrously O Zeno

Parmenides asks whether Socrates separates forms from what shares in them. Socrates holds forms of likeness, the just, the beautiful, and the good; of man, fire, and water he is unsure; of hair, mud, and dirt he thinks not, fearing an abyss of nonsense. Parmenides says he is young and will one day despise none of them. Does a thing share in the whole form or a part? Socrates offers a day, whole in many places; Parmenides answers with a sail, which covers each man only in part. Divided forms bring absurdities, and Socrates cannot say how things share.

ταῦτα δὲ ἀνδρείως μὲν πάνυ ἡγοῦμαι πεπραγματεῦσθαι· 130
these-things and bravely indeed very I-think to-have-been-worked-out
πολὺ μεντᾶν ὧδε μᾶλλον, ὡς λέγω, ἀγασθείην
much however-would thus more as I-say I-would-admire(-it)
εἴ τις ἔχοι τὴν αὐτὴν ταύτην ἀπορίαν ἐν αὐτοῖς τοῖς
if one could the same this perplexity in themselves the
εἴδεσι παντοδαπῶς πλεκομένην, ὥσπερ ἐν τοῖς ὁρωμένοις
forms in-all-ways interwoven as in the things-seen
διήλθετε, οὕτως καὶ ἐν τοῖς λογισμῷ λαμβανομένοις
you-went-through so also in the(-things) by-reasoning grasped
ἐπιδεῖξαι.
to-show
λέγοντος δή, ἔφη ὁ Πυθόδωρος, τοῦ Σωκράτους ταῦτα b
saying indeed said — Pythodorus — Socrates these-things
αὐτὸς μὲν ἂν οἴεσθαι ἐφ' ἑκάστου ἄχθεσθαι τόν τε
himself indeed — to-think at each to-be-annoyed the both
Παρμενίδην καὶ τὸν Ζήνωνα, τοὺς δὲ πάνυ τε αὐτῷ
Parmenides and the Zeno they and very both to-him
προσέχειν τὸν νοῦν καὶ θαμὰ εἰς ἀλλήλους βλέποντας
to-apply the mind and often at one-another looking
μειδιᾶν ὡς ἀγαμένους τὸν Σωκράτη. ὅπερ οὖν καὶ
to-smile as admiring — Socrates which-very-thing then also

παυσαμένου αὐτοῦ εἰπεῖν τὸν Παρμενίδην· ὦ Σώκρατες,
having-stopped he to-say — Parmenides O Socrates
φάναι, ὡς ἄξιος εἶ ἄγασθαι τῆς ὁρμῆς τῆς ἐπὶ τοὺς
to-say how worthy you-are to-be-admired for-the impulse the(-one) toward the
λόγους. καί μοι εἰπέ, αὐτὸς σὺ οὕτω διῄρησαι ὡς λέγεις,
arguments and me tell yourself you so have-divided as you-say
χωρὶς μὲν εἴδη αὐτὰ ἄττα, χωρὶς δὲ τὰ τούτων
apart indeed forms themselves some apart and the(-things) of-these
αὖ μετέχοντα; καί τί σοι δοκεῖ εἶναι αὐτὴ ὁμοιότης
again partaking and what to-you seems to-be itself likeness
χωρὶς ἧς ἡμεῖς ὁμοιότητος ἔχομεν, καὶ ἓν δὴ καὶ
apart from-which we likeness have and one indeed and
πολλὰ καὶ πάντα ὅσα νυνδὴ Ζήνωνος ἤκουες;
many and all as-many-as just-now from-Zeno you-were-hearing
ἔμοιγε, φάναι τὸν Σωκράτη.
to-me-at-least to-say — Socrates
ἦ καὶ τὰ τοιαῦτα, εἰπεῖν τὸν Παρμενίδην, οἷον δικαίου
truly also the such(-things) to-say — Parmenides as of-just
τι εἶδος αὐτὸ καθ' αὑτὸ καὶ καλοῦ καὶ ἀγαθοῦ καὶ
some form itself by itself and of-beautiful and of-good and
πάντων αὖ τῶν τοιούτων;
of-all again the such
ναί, φάναι.
yes to-say
c τί δ', ἀνθρώπου εἶδος χωρὶς ἡμῶν καὶ τῶν οἷοι ἡμεῖς
what and of-man form apart from-us and from-the such-as we
ἐσμεν πάντων, αὐτό τι εἶδος ἀνθρώπου ἢ πυρὸς ἢ καὶ
are all itself some form of-man or of-fire or even
ὕδατος;
of-water

ἐν ἀπορίᾳ, φάναι, πολλάκις δή, ὦ Παρμενίδη, περὶ
in perplexity to-say often indeed O Parmenides about
αὐτῶν γέγονα, πότερα χρὴ φάναι ὥσπερ περὶ ἐκείνων
them I-have-been whether one-must to-say as about those
ἢ ἄλλως.
or otherwise
ἦ καὶ περὶ τῶνδε, ὦ Σώκρατες, ἃ καὶ γελοῖα δόξειεν d
truly also about these(-things) O Socrates which also ridiculous would-seem
ἂν εἶναι, οἷον θρὶξ καὶ πηλὸς καὶ ῥύπος ἢ ἄλλο τι
— to-be as hair and mud and dirt or other something
ἀτιμότατόν τε καὶ φαυλότατον, ἀπορεῖς εἴτε χρὴ
most-worthless both and meanest are-you-at-a-loss whether one-must
φάναι καὶ τούτων ἑκάστου εἶδος εἶναι χωρίς, ὃν ἄλλο
to-say also of-these each form to-be apart being other
αὖ ἢ ὧν τι ἡμεῖς μεταχειριζόμεθα, εἴτε καὶ μή;
again than which something we handle or also not
οὐδαμῶς, φάναι τὸν Σωκράτη, ἀλλὰ ταῦτα μέν γε ἅπερ
in-no-way to-say — Socrates but these indeed at-least which-very
ὁρῶμεν, ταῦτα καὶ εἶναι· εἶδος δέ τι αὐτῶν οἰηθῆναι εἶναι
would-be either to-itself or to-other if-indeed the same having-experienced
ὅμοιον. — ὀρθῶς. — τὸ δέ γε ἕν, ὡς ἔοικεν, οὐδαμῶς
like rightly the and at-least one as it-seems in-no-way
ἕτερον πεπονθὸς οὐδαμῶς ἀνόμοιόν ἐστιν οὔτε αὑτῷ οὔτε
other having-experienced in-no-way unlike is either to-itself or
ἑτέρῳ. — οὐ γὰρ οὖν. — οὔτε ἄρα ὅμοιον οὔτε ἀνόμοιον
to-other not for indeed neither then like nor unlike
οὔθ' ἑτέρῳ οὔτε ἑαυτῷ ἂν εἴη τὸ ἕν. — οὐ φαίνεται.
either to-other or to-itself — would-be the one not it-appears
c καὶ μὴν τοιοῦτόν γε ὂν οὔτε ἴσον οὔτε ἄνισον ἔσται
and indeed such at-least being neither equal nor unequal it-will-be
οὔτε ἑαυτῷ οὔτε ἄλλῳ. — πῇ; — ἴσον μὲν ὂν τῶν
either to-itself or to-other how equal indeed being of-the
αὐτῶν μέτρων ἔσται ἐκείνῳ ᾧ ἂν ἴσον ᾖ. — ναί.
same measures it-will-be with-that to-which — equal it-be yes
— μεῖζον δέ που ἢ ἔλαττον ὄν, οἷς μὲν ἂν σύμμετρον
— greater and surely or less being with-which indeed — commensurate
ᾖ, τῶν μὲν ἐλαττόνων πλείω μέτρα ἕξει, τῶν δὲ
it-be than-the indeed lesser more measures it-will-have than-the and
μειζόνων ἐλάττω. — ναί. — οἷς δ' ἂν μὴ σύμμετρον,
greater fewer yes with-which and — not commensurate

τῶν μὲν σμικροτέρων, τῶν δὲ μειζόνων μέτρων ἔσται.
of-the indeed smaller of-the and greater measures it-will-be
— πῶς γὰρ οὔ; — οὐκοῦν ἀδύνατον τὸ μὴ μετέχον τοῦ
how for not therefore impossible the not partaking of-the
αὐτοῦ ἢ μέτρων τῶν αὐτῶν εἶναι ἢ ἄλλων ὁντινωνοῦν
same either of-measures the same to-be or of-other of-any-whatever
τῶν αὐτῶν; — ἀδύνατον. — ἴσον μὲν ἄρα οὔτ' ἂν ἑαυτῷ
the same impossible equal indeed then neither — to-itself
οὔτε ἄλλῳ εἴη μὴ τῶν αὐτῶν μέτρων ὄν. — οὔκουν
nor to-other it-would-be not of-the same measures being not-then
φαίνεταί γε. — ἀλλὰ μὴν πλειόνων γε μέτρων ὂν
it-appears at-least but indeed of-more at-least measures being
ἢ ἐλαττόνων, ὅσωνπερ μέτρων, τοσούτων καὶ μερῶν ἂν
or of-fewer of-as-many-as measures of-so-many also of-parts —
εἴη· καὶ οὕτω αὖ οὐκέτι ἓν ἔσται ἀλλὰ τοσαῦτα
it-would-be and so again no-longer one it-will-be but so-many
ὅσαπερ καὶ τὰ μέτρα. — ὀρθῶς. — εἰ δέ γε ἑνὸς μέτρου
as-many-as also the measures rightly if and at-least of-one measure
εἴη, ἴσον ἂν γίγνοιτο τῷ μέτρῳ· τοῦτο δὲ ἀδύνατον
it-were equal — it-would-become to-the measure this but impossible
ἐφάνη, ἴσον τῳ αὐτὸ εἶναι. — ἐφάνη γάρ. — οὔτε
appeared equal to-anything it to-be it-appeared for neither
ἄρα ἑνὸς μέτρου μετέχον οὔτε πολλῶν οὔτε ὀλίγων, οὔτε
then of-one measure partaking nor of-many nor of-few nor
τὸ παράπαν τοῦ αὐτοῦ μετέχον, οὔτε ἑαυτῷ ποτε, ὡς
— altogether of-the same partaking neither to-itself ever as
ἔοικεν, ἔσται ἴσον οὔτε ἄλλῳ· οὔτε αὖ μεῖζον οὐδὲ ἔλαττον
it-seems it-will-be equal nor to-other nor again greater nor less
οὔτε ἑαυτοῦ οὔτε ἑτέρου. — παντάπασι μὲν οὖν οὕτω.
either than-itself or than-other altogether indeed then so

e τί δέ; πρεσβύτερον ἢ νεώτερον ἢ τὴν αὐτὴν ἡλικίαν ἔχειν
what and older or younger or the same age to-have
τὸ ἓν δοκεῖ τῳ δυνατὸν εἶναι; — τί δὴ γὰρ οὔ; — ὅτι
the one seems to-anyone possible to-be why indeed for not because
που ἡλικίαν μὲν τὴν αὐτὴν ἔχον ἢ αὑτῷ ἢ ἄλλῳ
surely age indeed the same having either with-itself or with-other
ἰσότητος χρόνου καὶ ὁμοιότητος μεθέξει, ὧν ἐλέγομεν οὐ
of-equality of-time and of-likeness it-will-partake of-which we-were-saying not
μετεῖναι τῷ ἑνί, οὔτε ὁμοιότητος οὔτε ἰσότητος. — ἐλέγομεν
to-belong to-the one either of-likeness or of-equality we-were-saying
γὰρ οὖν. — καὶ μὴν καὶ ὅτι ἀνομοιότητός τε καὶ ἀνισότητος
for indeed and indeed also that of-unlikeness both and of-inequality
οὐ μετέχει, καὶ τοῦτο ἐλέγομεν. — πάνυ μὲν οὖν.
not it-partakes also this we-were-saying certainly indeed then
141 — πῶς οὖν οἷόν τε ἔσται τινὸς ἢ πρεσβύτερον ἢ
how then possible — will-it-be than-anything either older or
νεώτερον εἶναι ἢ τὴν αὐτὴν ἡλικίαν ἔχειν τῳ τοιοῦτον
younger to-be or the same age to-have with-anything such
ὄν; — οὐδαμῶς. — οὐκ ἄρα ἂν εἴη νεώτερόν γε οὐδὲ
being in-no-way not then — it-would-be younger at-least nor
πρεσβύτερον οὐδὲ τὴν αὐτὴν ἡλικίαν ἔχον τὸ ἓν οὔτε αὑτῷ
older nor the same age having the one either with-itself
οὔτε ἄλλῳ. — οὐ φαίνεται. — ἆρ᾽ οὖν οὐδὲ ἐν χρόνῳ τὸ
or with-other not it-appears so then not-even in time —
παράπαν δύναιτο ἂν εἶναι τὸ ἕν, εἰ τοιοῦτον εἴη; ἢ οὐκ
altogether could — be the one if such it-were or not
ἀνάγκη, ἐάν τι ᾖ ἐν χρόνῳ, ἀεὶ αὐτὸ αὑτοῦ πρεσβύτερον
necessity if anything be in time always it than-itself older
γίγνεσθαι; — ἀνάγκη. — οὐκοῦν τό γε πρεσβύτερον ἀεὶ
to-become necessity therefore the at-least older always
νεωτέρου πρεσβύτερον; — τί μήν; — τὸ πρεσβύτερον ἄρα
than-younger older what indeed the older then

ἑαυτοῦ γιγνόμενον καὶ νεώτερον ἑαυτοῦ ἅμα γίγνεται,
than-itself becoming also younger than-itself at-the-same-time becomes
εἴπερ μέλλει ἔχειν ὅτου πρεσβύτερον γίγνηται. — πῶς
if-indeed it-is-going to-have than-what older it-becomes how
λέγεις; — ὧδε· διάφορον ἕτερον ἑτέρου οὐδὲν δεῖ γίγνεσθαι
do-you-mean thus different other than-other nothing must to-become
ἤδη ὄντος διαφόρου, ἀλλὰ τοῦ μὲν ἤδη ὄντος ἤδη
already being different but of-the indeed already being(-different) already
εἶναι, τοῦ δὲ γεγονότος γεγονέναι, τοῦ δὲ μέλλοντος
to-be of-the and having-become to-have-become of-the and going-to-be
μέλλειν, τοῦ δὲ γιγνομένου οὔτε γεγονέναι οὔτε μέλλειν
to-be-going-to-be of-the and becoming neither to-have-become nor to-be-going-to-be
οὔτε εἶναί πω διάφορον, ἀλλὰ γίγνεσθαι καὶ ἄλλως οὐκ εἶναι.
nor to-be yet different but to-become and otherwise not to-be
— ἀνάγκη γὰρ δή. — ἀλλὰ μὴν τό γε πρεσβύτερον d
necessity for indeed but indeed the at-least older
διαφορότης νεωτέρου ἐστὶν καὶ οὐδενὸς ἄλλου. — ἔστι
difference of-younger is and of-nothing other it-is
γάρ. — τὸ ἄρα πρεσβύτερον ἑαυτοῦ γιγνόμενον ἀνάγκη
for the then older than-itself becoming necessity
καὶ νεώτερον ἅμα ἑαυτοῦ γίγνεσθαι. — ἔοικεν.
also younger at-the-same-time than-itself to-become it-seems
— ἀλλὰ μὴν καὶ μήτε πλείω ἑαυτοῦ γίγνεσθαι χρόνον
but indeed also neither more than-itself to-become time
μήτε ἐλάττω, ἀλλὰ τὸν ἴσον χρόνον καὶ γίγνεσθαι ἑαυτῷ
nor less but the equal time both to-become with-itself
καὶ εἶναι καὶ γεγονέναι καὶ μέλλειν ἔσεσθαι. — ἀνάγκη
and to-be and to-have-become and to-be-going to-be necessity
γὰρ οὖν καὶ ταῦτα. — ἀνάγκη ἄρα ἐστίν, ὡς ἔοικεν,
for indeed also these-things necessity then it-is as it-seems
ὅσα γε ἐν χρόνῳ ἐστὶν καὶ μετέχει τοῦ τοιούτου,
as-many-as at-least in time are and partake of-the such

ἕκαστον αὐτῶν τὴν αὐτήν τε αὐτὸ αὑτῷ ἡλικίαν ἔχειν
each of-them the same both it with-itself age to-have
καὶ πρεσβύτερόν τε αὑτοῦ ἅμα καὶ νεώτερον
and older both than-itself at-the-same-time and younger
γίγνεσθαι. — κινδυνεύει. — ἀλλὰ μὴν τῷ γε ἑνὶ τῶν
to-become it-is-likely but indeed in-the at-least one of-the
τοιούτων παθημάτων οὐδὲν μετῆν. — οὐ γὰρ μετῆν.
such experiences nothing belonged not for it-belonged
— οὐδὲ ἄρα χρόνου αὐτῷ μέτεστιν, οὐδ' ἔστιν ἔν τινι
not-even then of-time to-it belongs nor it-is in any
χρόνῳ. — οὔκουν δή, ὥς γε ὁ λόγος αἱρεῖ.
time not-then indeed as at-least the argument proves
e τί οὖν; τὸ ἦν καὶ τὸ γέγονε καὶ τὸ ἐγίγνετο οὐ χρόνου
what then the was and the has-become and the was-becoming not of-time
μέθεξιν δοκεῖ σημαίνειν τοῦ ποτὲ γεγονότος; — καὶ
participation seems to-signify of-the once having-come-about and
μάλα. — τί δέ; τὸ ἔσται καὶ τὸ γενήσεται καὶ τὸ
very(-much) what and the will-be and the will-become and the
γενηθήσεται οὐ τοῦ ἔπειτα; — ναί. — τὸ δὲ δὴ ἔστι
will-have-become not of-the hereafter yes the and indeed is
καὶ τὸ γίγνεται οὐ τοῦ νῦν παρόντος; — πάνυ μὲν οὖν.
and the becomes not of-the now present certainly indeed then
— εἰ ἄρα τὸ ἓν μηδαμῇ μηδενὸς μετέχει χρόνου, οὔτε
if then the one in-no-way of-any partakes time neither
ποτὲ γέγονεν οὔτ' ἐγίγνετο οὔτ' ἦν ποτέ, οὔτε νῦν
ever it-has-become nor it-was-becoming nor it-was ever nor now
γέγονεν οὔτε γίγνεται οὔτε ἔστιν, οὔτ' ἔπειτα γενήσεται
it-has-become nor becomes nor is nor hereafter it-will-become
οὔτε γενηθήσεται οὔτε ἔσται. — ἀληθέστατα. — ἔστιν οὖν
nor it-will-have-become nor it-will-be most-truly is-there then
οὐσίας ὅπως ἄν τι μετάσχοι ἄλλως ἢ κατὰ τούτων
of-being how — anything could-partake otherwise than according-to of-these

τι; — οὐκ ἔστιν. — οὐδαμῶς ἄρα τὸ ἓν οὐσίας μετέχει.
any not there-is in-no-way then the one of-being partakes
— οὐκ ἔοικεν. — οὐδαμῶς ἄρα ἔστι τὸ ἕν. — οὐ φαίνεται.
not it-seems in-no-way then is the one not it-appears
— οὐδ' ἄρα οὕτως ἔστιν ὥστε ἓν εἶναι· εἴη γὰρ ἂν 142
nor then so it-is so-as one to-be it-would-be for —
ἤδη ὂν καὶ οὐσίας μετέχον· ἀλλ' ὡς ἔοικεν, τὸ ἓν οὔτε
already being and of-being partaking but as it-seems the one neither
ἕν ἐστιν οὔτε ἔστιν, εἰ δεῖ τῷ τοιῷδε λόγῳ πιστεύειν.
one is nor is if one-must the such argument trust
— κινδυνεύει. — ὃ δὲ μὴ ἔστι, τούτῳ τῷ μὴ ὄντι εἴη
it-is-likely what and not is to-this the not being would-be
ἄν τι αὐτῷ ἢ αὐτοῦ; — καὶ πῶς; — οὐδ' ἄρα ὄνομα
— anything to-it or of-it and how nor then name
ἔστιν αὐτῷ οὐδὲ λόγος οὐδέ τις ἐπιστήμη οὐδὲ αἴσθησις
is to-it nor account nor any knowledge nor perception
οὐδὲ δόξα. — οὐ φαίνεται. — οὐδ' ὀνομάζεται ἄρα οὐδὲ
nor opinion not it-appears nor it-is-named then nor
λέγεται οὐδὲ δοξάζεται οὐδὲ γιγνώσκεται, οὐδέ τι τῶν
is-said nor is-opined nor is-known nor anything of-the
ὄντων αὐτοῦ αἰσθάνεται. — οὐκ ἔοικεν. — ἦ δυνατὸν οὖν
beings of-it perceives not it-seems truly possible then
περὶ τὸ ἓν ταῦτα οὕτως ἔχειν; — οὔκουν ἔμοιγε δοκεῖ.
about the one these-things so to-hold not-then to-me-at-least it-seems

They start again: if one is, it partakes of being, and its being is not the same as the one. So the one that is is a whole with parts, one and being, and each part again has both, so the one that is is unlimited in multitude. Being, one, and the other yield two and three, odd and even, and all number; being is divided into parts without limit, and the one, present to every part, is divided as many.

b βούλει οὖν ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐξ ἀρχῆς ἐπανέλθωμεν,
do-you-wish then to the hypothesis again from beginning let-us-go-back
ἐάν τι ἡμῖν ἐπανιοῦσιν ἀλλοῖον φανῇ; — πάνυ μὲν
if anything to-us going-back different appears certainly indeed
οὖν βούλομαι. — οὐκοῦν ἓν εἰ ἔστιν, φαμέν, τὰ
then I-wish therefore one if is we-say the(-things)
συμβαίνοντα περὶ αὐτοῦ, ποῖά ποτε τυγχάνει ὄντα,
resulting about it of-what-sort ever they-happen being
διομολογητέα ταῦτα· οὐχ οὕτω; — ναί. — ὅρα δὴ ἐξ
must-be-agreed these-things not so yes see indeed from
ἀρχῆς. ἓν εἰ ἔστιν, ἆρα οἷόν τε αὐτὸ εἶναι μέν, οὐσίας δὲ
beginning one if is then possible — it to-be indeed of-being but
μὴ μετέχειν; — οὐχ οἷόν τε. — οὐκοῦν καὶ ἡ οὐσία τοῦ
not to-partake not possible — therefore also the being of-the
ἑνὸς εἴη ἂν οὐ ταὐτὸν οὖσα τῷ ἑνί· οὐ γὰρ ἂν ἐκείνη
one would-be — not the-same being with-the one not for — that
ἦν ἐκείνου οὐσία, οὐδ' ἂν ἐκεῖνο, τὸ ἕν, ἐκείνης μετεῖχεν,
would-be of-that being nor — that the one of-that would-partake
ἀλλ' ὅμοιον ἂν ἦν λέγειν ἕν τε εἶναι καὶ ἓν ἕν. νῦν δὲ
but like — it-would-be to-say one both to-be and one one now but
οὐχ αὕτη ἐστὶν ἡ ὑπόθεσις, εἰ ἓν ἕν, τί χρὴ συμβαίνειν,
not this is the hypothesis if one one what must to-result
ἀλλ' εἰ ἓν ἔστιν· οὐχ οὕτω; — πάνυ μὲν οὖν. — οὐκοῦν ὡς
but if one is not so certainly indeed then therefore as

ἄλλο τι σημαῖνον τὸ ἔστι τοῦ ἕν; — ἀνάγκη. — ἆρα
other something signifying the is than-the one necessity so
οὖν ἄλλο ἢ ὅτι οὐσίας μετέχει τὸ ἕν, τοῦτ᾽ ἂν εἴη
then other than that of-being partakes the one this — would-be
τὸ λεγόμενον, ἐπειδάν τις συλλήβδην εἴπῃ ὅτι ἓν ἔστιν;
the thing-said whenever one in-sum says that one is
— πάνυ γε. — πάλιν δὴ λέγωμεν, ἓν εἰ ἔστιν, τί d
certainly at-least again indeed let-us-say one if is what
συμβήσεται. σκόπει οὖν εἰ οὐκ ἀνάγκη ταύτην τὴν
will-result consider then whether not necessity this the
ὑπόθεσιν τοιοῦτον ὂν τὸ ἓν σημαίνειν, οἷον μέρη ἔχειν;
hypothesis such being the one to-signify such-as parts to-have
— πῶς; — ὧδε· εἰ τὸ ἔστι τοῦ ἑνὸς ὄντος λέγεται καὶ τὸ ἓν
how thus if the is of-the one being is-said and the one
τοῦ ὄντος ἑνός, ἔστι δὲ οὐ τὸ αὐτὸ ἥ τε οὐσία καὶ τὸ ἕν,
of-the being one is and not the same the both being and the one
τοῦ αὐτοῦ δὲ ἐκείνου οὗ ὑπεθέμεθα, τοῦ ἑνὸς ὄντος, ἆρα οὐκ
of-the same and that which we-supposed of-the one being then not
ἀνάγκη τὸ μὲν ὅλον ἓν ὂν εἶναι αὐτό, τούτου δὲ γίγνεσθαι
necessity the indeed whole one being to-be it of-this and to-become
μόρια τό τε ἓν καὶ τὸ εἶναι; — ἀνάγκη. — πότερον οὖν
parts the both one and the to-be necessity whether then
ἑκάτερον τῶν μορίων τούτων μόριον μόνον προσεροῦμεν, ἢ
each of-the parts these part only shall-we-call or
τοῦ ὅλου μόριον τό γε μόριον προσρητέον; — τοῦ ὅλου.
of-the whole part the at-least part must-be-called of-the whole
— καὶ ὅλον ἄρα ἐστί, ὃ ἂν ἓν ᾖ, καὶ μόριον ἔχει. — πάνυ
and whole then is what — one be also part has certainly
γε. — τί οὖν; τῶν μορίων ἑκάτερον τούτων τοῦ ἑνὸς
at-least what then of-the parts each these of-the one

ὄντος, τό τε ἓν καὶ τὸ ὄν, ἆρα ἀπολείπεσθον ἢ τὸ ἓν τοῦ
being the both one and the being then do-the-two-fall-short either the one of-the
εἶναι μορίου ἢ τὸ ὂν τοῦ ἑνὸς μορίου; — οὐκ ἂν εἴη.
to-be part or the being of-the one part not — it-would-be
143 — πάλιν ἄρα καὶ τῶν μορίων ἑκάτερον τό τε ἓν ἴσχει
again then also of-the parts each the both one holds
καὶ τὸ ὄν, καὶ γίγνεται τὸ ἐλάχιστον ἐκ δυοῖν αὖ
and the being and becomes the least from two again
μορίοιν τὸ μόριον, καὶ κατὰ τὸν αὐτὸν λόγον οὕτως
parts the part and according-to the same argument so
ἀεί, ὅτιπερ ἂν μόριον γένηται, τούτω τὼ μορίω ἀεὶ
always whatever — part become these-two the-two parts always
ἴσχει· τό τε γὰρ ἓν τὸ ὂν ἀεὶ ἴσχει καὶ τὸ ὂν τὸ
it-holds the both for one the being always holds and the being the
ἕν· ὥστε ἀνάγκη δύ' ἀεὶ γιγνόμενον μηδέποτε ἓν εἶναι.
one so-that necessity two always becoming never one to-be
— παντάπασι μὲν οὖν. — οὐκοῦν ἄπειρον ἂν τὸ
altogether indeed then therefore unlimited — in-the
πλῆθος οὕτω τὸ ἓν ὂν εἴη; — ἔοικεν.
multitude so the one being would-be it-seems
b ἴθι δὴ καὶ τῇδε ἔτι. — πῇ; — οὐσίας φαμὲν μετέχειν
come indeed also in-this-way still how of-being we-say to-partake
τὸ ἕν, διὸ ἔστιν; — ναί. — καὶ διὰ ταῦτα δὴ τὸ
the one wherefore it-is yes and because-of these-things indeed the
ἓν ὂν πολλὰ ἐφάνη. — οὕτω. — τί δέ; αὐτὸ τὸ ἕν, ὃ
one being many appeared so what and itself the one which
δή φαμεν οὐσίας μετέχειν, ἐὰν αὐτὸ τῇ διανοίᾳ μόνον
indeed we-say of-being to-partake if it in-the thought alone
καθ' αὑτὸ λάβωμεν ἄνευ τούτου οὗ φαμεν μετέχειν, ἆρά
by itself we-take without this of-which we-say to-partake then
γε ἓν μόνον φανήσεται ἢ καὶ πολλὰ τὸ αὐτὸ τοῦτο;
at-least one only will-it-appear or also many the same this

— ἕν, οἶμαι ἔγωγε. — ἴδωμεν δή· ἄλλο τι ἕτερον
one I-think I-at-least let-us-see indeed other something other
μὲν ἀνάγκη τὴν οὐσίαν αὐτοῦ εἶναι, ἕτερον δὲ αὐτό, εἴπερ
indeed necessity the being of-it to-be other and it if-indeed
μὴ οὐσία τὸ ἕν, ἀλλ' ὡς ἓν οὐσίας μετέσχεν. — ἀνάγκη.
not being the one but as one of-being it-partook necessity
— οὐκοῦν εἰ ἕτερον μὲν ἡ οὐσία, ἕτερον δὲ τὸ ἕν, οὔτε
therefore if other indeed the being other and the one neither
τῷ ἓν τὸ ἓν τῆς οὐσίας ἕτερον οὔτε τῷ οὐσία εἶναι ἡ
by-the one the one than-the being other nor by-the being to-be the
οὐσία τοῦ ἑνὸς ἄλλο, ἀλλὰ τῷ ἑτέρῳ τε καὶ ἄλλῳ ἕτερα
being than-the one other but by-the other both and different other
ἀλλήλων. — πάνυ μὲν οὖν. — ὥστε οὐ ταὐτόν ἐστιν
than-one-another certainly indeed then so-that not the-same is
οὔτε τῷ ἑνὶ οὔτε τῇ οὐσίᾳ τὸ ἕτερον. — πῶς γάρ;
either with-the one or with-the being the other how for
τί οὖν; ἐὰν προελώμεθα αὐτῶν εἴτε βούλει τὴν οὐσίαν καὶ c
what then if we-pick-out of-them whether you-wish the being and
τὸ ἕτερον εἴτε τὴν οὐσίαν καὶ τὸ ἓν εἴτε τὸ ἓν καὶ τὸ ἕτερον,
the other or the being and the one or the one and the other
ἆρ' οὐκ ἐν ἑκάστῃ τῇ προαιρέσει προαιρούμεθά τινε ὧ
so not in each the choice we-choose some-two which
ὀρθῶς ἔχει καλεῖσθαι ἀμφοτέρω; — πῶς; — ὧδε· ἔστιν
rightly holds to-be-called both how thus is-it-possible
οὐσίαν εἰπεῖν; — ἔστιν. — καὶ αὖθις εἰπεῖν ἕν; — καὶ τοῦτο.
being to-say it-is and again to-say one also this
— ἆρ' οὖν οὐχ ἑκάτερον αὐτοῖν εἴρηται; — ναί. — τί δ'
so then not each of-the-two has-been-said yes what and
ὅταν εἴπω οὐσία τε καὶ ἕν, ἆρα οὐκ ἀμφοτέρω; — πάνυ
whenever I-say being both and one then not both certainly
γε. — οὐκοῦν καὶ ἐὰν οὐσία τε καὶ ἕτερον ἢ ἑτερόν
at-least therefore also if being both and other or other

τε καὶ ἕν, καὶ οὕτω πανταχῶς ἐφ' ἑκάστου ἄμφω λέγω;
both and one and so in-every-way in each both I-say
— ναί. — ὧ δ' ἂν ἄμφω ὀρθῶς προσαγορεύησθον,
yes which-two and — both rightly are-called
ἆρα οἷόν τε ἄμφω μὲν αὐτὼ εἶναι, δύο δὲ μή; — οὐχ οἷόν
then possible — both indeed them to-be two but not not possible
τε. — ὧ δ' ἂν δύο ἦτον, ἔστι τις μηχανὴ μὴ οὐχ
— which-two and — two are-the-two is-there any contrivance — not
ἑκάτερον αὐτοῖν ἓν εἶναι; — οὐδεμία. — τούτων ἄρα ἐπείπερ
each of-them one to-be none of-these then since
σύνδυο ἕκαστα συμβαίνει εἶναι, καὶ ἓν ἂν εἴη ἕκαστον.
two-together each happens to-be also one — would-be each
e — φαίνεται. — εἰ δὲ ἓν ἕκαστον αὐτῶν ἐστι, συντεθέντος
it-appears if and one each of-them is having-been-put-together
ἑνὸς ὁποιουοῦν ᾑτινιοῦν συζυγίᾳ οὐ τρία γίγνεται τὰ
one of-whatever-sort with-whatever pairing not three becomes the
πάντα; — ναί. — τρία δὲ οὐ περιττὰ καὶ δύο ἄρτια;
all yes three and not odd and two even
— πῶς δ' οὔ; — τί δέ; δυοῖν ὄντοιν οὐκ ἀνάγκη εἶναι
how and not what and two being not necessity to-be
καὶ δίς, καὶ τριῶν ὄντων τρίς, εἴπερ ὑπάρχει τῷ τε δύο
also twice and three being thrice if-indeed belongs to-the both two
τὸ δὶς ἓν καὶ τῷ τρία τὸ τρὶς ἕν; — ἀνάγκη. — δυοῖν δὲ
the twice one and to-the three the thrice one necessity two and
ὄντοιν καὶ δὶς οὐκ ἀνάγκη δύο δὶς εἶναι; καὶ τριῶν καὶ τρὶς
being and twice not necessity two twice to-be and three and thrice
οὐκ ἀνάγκη αὖ τρία τρὶς εἶναι; — πῶς δ' οὔ; — τί δέ;
not necessity again three thrice to-be how and not what and
τριῶν ὄντων καὶ δὶς ὄντων καὶ δυοῖν ὄντοιν καὶ τρὶς ὄντοιν
three being and twice being and two being and thrice being
οὐκ ἀνάγκη τε τρία δὶς εἶναι καὶ δύο τρίς; — πολλή γε.
not necessity both three twice to-be and two thrice much at-least

— ἄρτιά τε ἄρα ἀρτιάκις ἂν εἴη καὶ περιττὰ περιττάκις 144
even both then evenly — would-be and odd oddly
καὶ ἄρτια περιττάκις καὶ περιττὰ ἀρτιάκις. — ἔστιν
and even oddly and odd evenly it-is
οὕτω. — εἰ οὖν ταῦτα οὕτως ἔχει, οἴει τινὰ ἀριθμὸν
so if then these-things so hold do-you-think any number
ὑπολείπεσθαι ὃν οὐκ ἀνάγκη εἶναι; — οὐδαμῶς γε.
to-be-left-over which not necessity to-be in-no-way at-least
— εἰ ἄρα ἔστιν ἕν, ἀνάγκη καὶ ἀριθμὸν εἶναι. — ἀνάγκη.
if then is one necessity also number to-be necessity
— ἀλλὰ μὴν ἀριθμοῦ γε ὄντος πολλὰ ἂν εἴη
but indeed number at-least being many — would-be
καὶ πλῆθος ἄπειρον τῶν ὄντων· ἢ οὐκ ἄπειρος ἀριθμὸς
and multitude unlimited of-the beings or not unlimited number
πλήθει καὶ μετέχων οὐσίας γίγνεται; — καὶ πάνυ γε.
in-multitude and partaking of-being becomes and certainly at-least
— οὐκοῦν εἰ πᾶς ἀριθμὸς οὐσίας μετέχει, καὶ τὸ μόριον
therefore if every number of-being partakes also the part
ἕκαστον τοῦ ἀριθμοῦ μετέχοι ἂν αὐτῆς; — ναί.
each of-the number would-partake — of-it yes
ἐπὶ πάντα ἄρα πολλὰ ὄντα ἡ οὐσία νενέμηται καὶ b
to all then many being the being has-been-distributed and
οὐδενὸς ἀποστατεῖ τῶν ὄντων, οὔτε τοῦ σμικροτάτου
from-nothing stands-apart of-the beings either from-the smallest
οὔτε τοῦ μεγίστου; ἢ τοῦτο μὲν καὶ ἄλογον ἐρέσθαι;
or from-the greatest or this indeed even absurd to-ask
πῶς γὰρ ἂν δὴ οὐσία γε τῶν ὄντων του
how for — indeed being at-least from-the beings anything
ἀποστατοῖ; — οὐδαμῶς. — κατακεκερμάτισται ἄρα ὡς
would-stand-apart in-no-way has-been-chopped-up then as
οἷόν τε σμικρότατα καὶ μέγιστα καὶ πανταχῶς ὄντα, καὶ
possible — smallest and greatest and in-every-way being and

μεμέρισται πάντων μάλιστα, καὶ ἔστι μέρη ἀπέραντα
has-been-divided of-all most and there-are parts boundless
τῆς οὐσίας. — ἔχει οὕτω. — πλεῖστα ἄρα ἐστὶ τὰ μέρη
of-the being it-holds so most then are the parts
αὐτῆς. — πλεῖστα μέντοι. — τί οὖν; ἔστι τι αὐτῶν
of-it most however what then is anything of-them
ὃ ἔστι μὲν μέρος τῆς οὐσίας, οὐδὲν μέντοι μέρος; — καὶ
which is indeed part of-the being nothing however part and
πῶς ἄν τοῦτο γένοιτο; — ἀλλ' εἴπερ γε οἶμαι
how — this would-come-about but if-indeed at-least I-think
ἔστιν, ἀνάγκη αὐτὸ ἀεί, ἕωσπερ ἂν ᾖ, ἕν γέ τι
it-is necessity it always as-long-as — it-be one at-least something
εἶναι, μηδὲν δὲ ἀδύνατον. — ἀνάγκη. — πρὸς ἅπαντι ἄρα
to-be nothing but impossible necessity to every then
τῷ τῆς οὐσίας μέρει πρόσεστιν τὸ ἕν, οὐκ ἀπολειπόμενον
the of-the being part is-attached the one not falling-short
οὔτε σμικροτέρου οὔτε μείζονος μέρους οὔτε ἄλλου οὐδενός.
either of-smaller or of-greater part or of-other any
— οὕτω. — ἆρα οὖν ἓν ὂν πολλαχοῦ ἅμα ὅλον ἐστί;
so so then one being in-many-places at-once whole is-it
e τοῦτο ἄθρει. — ἀλλ' ἀθρῶ καὶ ὁρῶ ὅτι ἀδύνατον.
this observe but I-observe and see that impossible
— μεμερισμένον ἄρα, εἴπερ μὴ ὅλον· ἄλλως γάρ που
divided then if-indeed not whole otherwise for surely
οὐδαμῶς ἅμα ἅπασι τοῖς τῆς οὐσίας μέρεσιν παρέσται
in-no-way at-once to-all the of-the being parts it-will-be-present
ἢ μεμερισμένον. — ναί. — καὶ μὴν τό γε μεριστὸν
than divided yes and indeed the at-least divisible
πολλὴ ἀνάγκη εἶναι τοσαῦτα ὅσαπερ μέρη. — ἀνάγκη.
much necessity to-be so-many as-many-as parts necessity
— οὐκ ἄρα ἀληθῆ ἄρτι ἐλέγομεν λέγοντες ὡς πλεῖστα
not then true-things just-now we-were-saying saying that most

μέρη ἡ οὐσία νενεμημένη εἴη. οὐδὲ γὰρ πλείω τοῦ
parts the being distributed would-be not-even for more than-the
ἑνὸς νενέμηται, ἀλλ᾽ ἴσα, ὡς ἔοικε, τῷ ἑνί· οὔτε γὰρ
one it-has-been-distributed but equal as it-seems to-the one neither for
τὸ ὂν τοῦ ἑνὸς ἀπολείπεται οὔτε τὸ ἓν τοῦ ὄντος, ἀλλ᾽
the being of-the one falls-short nor the one of-the being but
ἐξισοῦσθον δύο ὄντε ἀεὶ παρὰ πάντα. — παντάπασιν
the-two-are-made-equal two being always throughout all altogether
οὕτω φαίνεται. — τὸ ἓν ἄρα αὐτὸ κεκερματισμένον ὑπὸ
so it-appears the one then itself chopped-up by
τῆς οὐσίας πολλά τε καὶ ἄπειρα τὸ πλῆθός ἐστιν.
the being many both and unlimited in-the multitude is
— φαίνεται. — οὐ μόνον ἄρα τὸ ὂν ἓν πολλά ἐστιν,
it-appears not only then the being one many is
ἀλλὰ καὶ αὐτὸ τὸ ἓν ὑπὸ τοῦ ὄντος διανενεμημένον
but also itself the one by the being distributed
πολλὰ ἀνάγκη εἶναι. — παντάπασι μὲν οὖν.
many necessity to-be altogether indeed then

As a whole with parts, the one is limited, with beginning, middle, and end, and has a shape. As all its parts it is in itself, and as a whole it is in another, so it both stands and moves. It is the same as itself and other than itself, and other than the others. Since difference is never in anything, it is also the same as them. Last, a name always names one nature, so when the one is other than the others and they are other than it, the one and the others undergo the same thing.

145 καὶ μὴν ὅτι γε ὅλου τὰ μόρια μόρια, πεπερασμένον
and indeed that at-least of-whole the parts parts limited
ἂν εἴη κατὰ τὸ ὅλον τὸ ἕν· ἢ οὐ περιέχεται ὑπὸ
— would-be according-to the whole the one or not are-surrounded by
τοῦ ὅλου τὰ μόρια; — ἀνάγκη. — ἀλλὰ μὴν τό γε
the whole the parts necessity but indeed the at-least
περιέχον πέρας ἂν εἴη. — πῶς δ' οὔ; — τὸ ἓν ἄρα
surrounding limit — would-be how and not the one then
ὂν ἕν τέ ἐστί που καὶ πολλά, καὶ ὅλον καὶ μόρια,
being one both is surely and many and whole and parts
καὶ πεπερασμένον καὶ ἄπειρον πλήθει. — φαίνεται.
and limited and unlimited in-multitude it-appears
— ἆρ' οὖν οὐκ, ἐπείπερ πεπερασμένον, καὶ ἔσχατα ἔχον;
so then not since limited also extremes having
— ἀνάγκη. — τί δέ; εἰ ὅλον, οὐ καὶ ἀρχὴν ἂν ἔχοι
necessity what and if whole not also beginning — would-it-have
καὶ μέσον καὶ τελευτήν; ἢ οἷόν τέ τι ὅλον εἶναι ἄνευ
and middle and end or possible — anything whole to-be without
τριῶν τούτων; κἄν του ἓν ὁτιοῦν αὐτῶν ἀποστατῇ,
three these and-if from-anything one any-whatever of-them stands-away
ἐθελήσει ἔτι ὅλον εἶναι; — οὐκ ἐθελήσει. — καὶ ἀρχὴν
will-it-be-willing still whole to-be not it-will-be-willing and beginning
δή, ὡς ἔοικεν, καὶ τελευτὴν καὶ μέσον ἔχοι ἂν τὸ
indeed as it-seems and end and middle would-have — the

ἕν. — ἔχοι. — ἀλλὰ μὴν τό γε μέσον ἴσον τῶν
one it-would-have but indeed the at-least middle equally from-the
ἐσχάτων ἀπέχει· οὐ γὰρ ἂν ἄλλως μέσον εἴη. — οὐ
extremes is-distant not for — otherwise middle would-be not
γάρ. — καὶ σχήματος δή τινος, ὡς ἔοικε, τοιοῦτον ὂν
for and of-shape indeed some as it-seems such being
μετέχοι ἂν τὸ ἕν, ἤτοι εὐθέος ἢ στρογγύλου ἤ τινος
would-partake — the one either of-straight or of-round or of-some
μεικτοῦ ἐξ ἀμφοῖν. — μετέχοι γὰρ ἄν.
mixed from both it-would-partake for —
ἆρ᾽ οὖν οὕτως ἔχον οὐκ αὐτό τε ἐν ἑαυτῷ ἔσται καὶ ἐν c
so then so being not it both in itself will-be and in
ἄλλῳ; — πῶς; — τῶν μερῶν που ἕκαστον ἐν τῷ ὅλῳ
other how of-the parts surely each in the whole
ἐστὶ καὶ οὐδὲν ἐκτὸς τοῦ ὅλου. — οὕτω. — πάντα δὲ τὰ
is and none outside of-the whole so all and the
μέρη ὑπὸ τοῦ ὅλου περιέχεται; — ναί. — καὶ μὴν τά γε
parts by the whole are-surrounded yes and indeed the at-least
πάντα μέρη τὰ αὐτοῦ τὸ ἕν ἐστι, καὶ οὔτε τι πλέον
all parts the(-ones) of-itself the one is and neither anything more
οὔτε ἔλαττον ἢ πάντα. — οὐ γάρ. — οὐκοῦν καὶ τὸ ὅλον
nor less than all not for therefore also the whole
τὸ ἕν ἐστιν; — πῶς δ᾽ οὔ; — εἰ ἄρα πάντα τὰ μέρη ἐν
the one is how and not if then all the parts in
ὅλῳ τυγχάνει ὄντα, ἔστι δὲ τά τε πάντα τὸ ἓν καὶ αὐτὸ
whole happen being is and the both all the one and itself
τὸ ὅλον, περιέχεται δὲ ὑπὸ τοῦ ὅλου τὰ πάντα, ὑπὸ τοῦ
the whole are-surrounded and by the whole the all by the
ἑνὸς ἂν περιέχοιτο τὸ ἕν, καὶ οὕτως ἂν ἤδη τὸ ἓν αὐτὸ
one — would-be-surrounded the one and so — already the one itself

ἐν ἑαυτῷ εἴη. — φαίνεται. — ἀλλὰ μέντοι τό γε ὅλον
in itself would-be it-appears but however the at-least whole
αὖ οὐκ ἐν τοῖς μέρεσίν ἐστιν, οὔτε ἐν πᾶσιν οὔτε ἐν τινί.
again not in the parts is either in all or in some
e εἰ γὰρ ἐν πᾶσιν, ἀνάγκη καὶ ἐν ἑνί· ἔν τινι γὰρ ἑνὶ μὴ ὂν
if for in all necessity also in one in some for one not being
οὐκ ἂν ἔτι που δύναιτο ἔν γε ἅπασιν εἶναι· εἰ δὲ
not — any-longer surely could in at-least all to-be if and
τοῦτο μὲν τὸ ἓν τῶν ἁπάντων ἐστί, τὸ δὲ ὅλον ἐν τούτῳ
this indeed the one of-the all is the and whole in this
μὴ ἔνι, πῶς ἔτι ἔν γε τοῖς πᾶσιν ἐνέσται; — οὐδαμῶς.
not is-in how still in at-least the all will-it-be-in in-no-way
— οὐδὲ μὴν ἐν τισὶ τῶν μερῶν· εἰ γὰρ ἐν τισὶ τὸ ὅλον
nor indeed in some of-the parts if for in some the whole
εἴη, τὸ πλέον ἂν ἐν τῷ ἐλάττονι εἴη, ὅ ἐστιν ἀδύνατον.
were the more — in the less would-be which is impossible
— ἀδύνατον γάρ. — μὴ ὂν δ' ἐν πλέοσιν μηδ' ἐν ἑνὶ
impossible for not being and in more nor in one
μηδ' ἐν ἅπασι τοῖς μέρεσι τὸ ὅλον οὐκ ἀνάγκη ἐν ἑτέρῳ
nor in all the parts the whole not necessity in other
τινὶ εἶναι ἢ μηδαμοῦ ἔτι εἶναι; — ἀνάγκη. — οὐκοῦν
some to-be or nowhere any-longer to-be necessity therefore
μηδαμοῦ μὲν ὂν οὐδὲν ἂν εἴη, ὅλον δὲ ὄν, ἐπειδὴ
nowhere indeed being nothing — would-it-be whole and being since
οὐκ ἐν αὑτῷ ἐστιν, ἀνάγκη ἐν ἄλλῳ εἶναι; — πάνυ γε.
not in itself it-is necessity in other to-be certainly at-least
— ᾗ μὲν ἄρα τὸ ἓν ὅλον, ἐν ἄλλῳ ἐστίν· ᾗ δὲ τὰ
in-which indeed then the one whole in other is in-which and the
πάντα μέρη ὄντα τυγχάνει, αὐτὸ ἐν ἑαυτῷ· καὶ οὕτω τὸ ἓν
all parts being it-happens it in itself and so the one
ἀνάγκη αὐτό τε ἐν ἑαυτῷ εἶναι καὶ ἐν ἑτέρῳ. — ἀνάγκη.
necessity it both in itself to-be and in other necessity

οὕτω δὴ πεφυκὸς τὸ ἓν ἆρ' οὐκ ἀνάγκη καὶ κινεῖσθαι
so indeed being-by-nature the one so not necessity both to-be-moved
καὶ ἑστάναι; — πῇ;
and to-stand how
— ἕστηκε μέν που, εἴπερ αὐτὸ ἐν ἑαυτῷ ἐστιν· ἐν γὰρ 146
it-stands indeed surely if-indeed it in itself is in for
ἑνὶ ὂν καὶ ἐκ τούτου μὴ μεταβαῖνον ἐν τῷ αὐτῷ ἂν
one being and from this not passing in the same —
εἴη, ἐν ἑαυτῷ. — ἔστι γάρ. — τὸ δέ γε ἐν τῷ
it-would-be in itself it-is for the and at-least in the
αὐτῷ ἀεὶ ὂν ἑστὸς δήπου ἀνάγκη ἀεὶ εἶναι. — πάνυ
same always being standing surely necessity always to-be certainly
γε. — τί δέ; τὸ ἐν ἑτέρῳ ἀεὶ ὂν οὐ τὸ ἐναντίον
at-least what and the in other always being not the opposite
ἀνάγκη μηδέποτ' ἐν ταὐτῷ εἶναι, μηδέποτε δὲ ὂν ἐν τῷ
necessity never in the-same to-be never and being in the
αὐτῷ μηδὲ ἑστάναι, μὴ ἑστὸς δὲ κινεῖσθαι; — οὕτως.
same not-even to-stand not standing and to-be-moved so
— ἀνάγκη ἄρα τὸ ἕν, αὐτό τε ἐν ἑαυτῷ ἀεὶ ὂν καὶ
necessity then the one itself both in itself always being and
ἐν ἑτέρῳ, ἀεὶ κινεῖσθαί τε καὶ ἑστάναι. — φαίνεται.
in other always to-be-moved both and to-stand it-appears
καὶ μὴν ταὐτόν γε δεῖ εἶναι αὐτὸ ἑαυτῷ καὶ ἕτερον b
and indeed the-same at-least must to-be it with-itself and other
ἑαυτοῦ, καὶ τοῖς ἄλλοις ὡσαύτως ταὐτόν τε καὶ ἕτερον
than-itself and with-the others likewise the-same both and other
εἶναι, εἴπερ καὶ τὰ πρόσθεν πέπονθεν. — πῶς;
to-be if-indeed also the(-things) before it-has-experienced how
— πᾶν που πρὸς ἅπαν ὧδε ἔχει, ἢ ταὐτόν ἐστιν
everything surely toward everything thus holds either the-same it-is
ἢ ἕτερον· ἢ ἐὰν μὴ ταὐτὸν ᾖ μηδ' ἕτερον, μέρος ἂν
or other or if not the-same it-be nor other part —

εἴη τούτου πρὸς ὃ οὕτως ἔχει, ἢ ὡς πρὸς μέρος
it-would-be of-this toward which so it-holds or as toward part
ὅλον ἂν εἴη. — φαίνεται. — ἆρ' οὖν τὸ ἓν αὐτὸ
whole — it-would-be it-appears so then the one itself
αὑτοῦ μέρος ἐστίν; — οὐδαμῶς. — οὐδ' ἄρα ὡς πρὸς
of-itself part is in-no-way nor then as toward
μέρος αὐτὸ αὑτοῦ ὅλον ἂν εἴη, πρὸς ἑαυτὸ μέρος ὄν.
part it of-itself whole — would-be toward itself part being
— οὐ γὰρ οἷόν τε. — ἀλλ' ἆρα ἕτερόν ἐστιν ἑνὸς τὸ
not for possible — but then other is than-one the
ἕν; — οὐ δῆτα. — οὐδ' ἄρα ἑαυτοῦ γε ἕτερον ἂν εἴη.
one not indeed nor then than-itself at-least other — would-be
— οὐ μέντοι. — εἰ οὖν μήτε ἕτερον μήτε ὅλον μήτε
not however if then neither other nor whole nor
μέρος αὐτὸ πρὸς ἑαυτό ἐστιν, οὐκ ἀνάγκη ἤδη ταὐτὸν
part it toward itself is not necessity already the-same
εἶναι αὐτὸ ἑαυτῷ; — ἀνάγκη. — τί δέ; τὸ ἑτέρωθι ὂν
to-be it with-itself necessity what and the elsewhere being
αὐτὸ ἑαυτοῦ ἐν τῷ αὐτῷ ὄντος ἑαυτῷ οὐκ ἀνάγκη αὐτὸ
itself than-itself in the same being with-itself not necessity it
ἑαυτοῦ ἕτερον εἶναι, εἴπερ καὶ ἑτέρωθι ἔσται;
than-itself other to-be if-indeed also elsewhere it-will-be
d — ἔμοιγε δοκεῖ. — οὕτω μὴν ἐφάνη ἔχον τὸ ἕν, αὐτό
to-me-at-least it-seems so indeed it-appeared being the one itself
τε ἐν ἑαυτῷ ὂν ἅμα καὶ ἐν ἑτέρῳ. — ἐφάνη γάρ.
both in itself being at-once and in other it-appeared for
— ἕτερον ἄρα, ὡς ἔοικεν, εἴη ταύτῃ ἂν ἑαυτοῦ τὸ ἕν.
other then as it-seems would-be in-this-way — than-itself the one
— ἔοικεν. — τί οὖν; εἴ τού τι ἕτερόν ἐστιν, οὐχ
it-seems what then if than-anything anything other is not
ἑτέρου ὄντος ἕτερον ἔσται; — ἀνάγκη. — οὐκοῦν ὅσα
than-other being other will-it-be necessity therefore as-many-as

μὴ ἕν ἐστιν, ἅπανθ' ἕτερα τοῦ ἑνός, καὶ τὸ ἓν τῶν μὴ
not one are all other than-the one and the one than-the not
ἕν; — πῶς δ' οὔ; — ἕτερον ἄρα ἂν εἴη τὸ ἓν τῶν
one how and not other then — would-be the one than-the
ἄλλων. — ἕτερον. — ὅρα δή· αὐτό τε ταὐτὸν καὶ τὸ
others other see indeed itself both the-same and the
ἕτερον ἆρ' οὐκ ἐναντία ἀλλήλοις; — πῶς δ' οὔ; — ἦ οὖν
other so not opposite to-one-another how and not truly then
ἐθελήσει ταὐτὸν ἐν τῷ ἑτέρῳ ἢ τὸ ἕτερον ἐν ταὐτῷ ποτε
will-be-willing the-same in the other or the other in the-same ever
εἶναι; — οὐκ ἐθελήσει. — εἰ ἄρα τὸ ἕτερον ἐν τῷ αὐτῷ
to-be not it-will-be-willing if then the other in the same
μηδέποτε ἔσται, οὐδὲν ἔστι τῶν ὄντων ἐν ᾧ ἐστὶν τὸ ἕτερον
never will-be nothing is of-the beings in which is the other
χρόνον οὐδένα· εἰ γὰρ ὁντινοῦν εἴη ἔν τῳ, ἐκεῖνον ἂν τὸν
time any if for any it-were in anything that — the
χρόνον ἐν ταὐτῷ εἴη τὸ ἕτερον. οὐχ οὕτως; — οὕτως.
time in the-same would-be the other not so so
— ἐπειδὴ δ' οὐδέποτε ἐν τῷ αὐτῷ ἐστιν, οὐδέποτε ἔν τινι
since and never in the same it-is never in any
τῶν ὄντων ἂν εἴη τὸ ἕτερον. — ἀληθῆ. — οὔτ' ἄρα
of-the beings — would-be the other true-things neither then
ἐν τοῖς μὴ ἓν οὔτε ἐν τῷ ἑνὶ ἐνείη ἂν τὸ ἕτερον. — οὐ
in the not one nor in the one would-be-in — the other not
γὰρ οὖν. — οὐκ ἄρα τῷ ἑτέρῳ γ' ἂν εἴη τὸ ἓν
for indeed not then by-the other at-least — would-be the one
τῶν μὴ ἓν οὐδὲ τὰ μὴ ἓν τοῦ ἑνὸς ἕτερα. — οὐ γάρ.
than-the not one nor the not one than-the one other not for
— οὐδὲ μὴν ἑαυτοῖς γε ἕτερ' ἂν εἴη ἀλλήλων, μὴ 147
nor indeed by-themselves at-least other — would-be than-one-another not
μετέχοντα τοῦ ἑτέρου. — πῶς γάρ; — εἰ δὲ μήτε αὑτοῖς
partaking of-the other how for if and neither by-themselves

ἕτερά ἐστι μήτε τῷ ἑτέρῳ, οὐ πάντῃ ἤδη ἂν ἐκφεύγοι
other they-are nor by-the other not wholly already — would-they-escape
τὸ μὴ ἕτερα εἶναι ἀλλήλων; — ἐκφεύγοι. — ἀλλὰ
the not other to-be than-one-another they-would-escape but
μὴν οὐδὲ τοῦ ἑνός γε μετέχει τὰ μὴ ἕν· οὐ γὰρ ἂν μὴ
indeed not-even of-the one at-least partake the not one not for — not
ἓν ἦν, ἀλλά πῃ ἂν ἓν ἦν. — ἀληθῆ. — οὐδ' ἂν
one they-were but somehow — one they-were true-things nor —
ἀριθμὸς εἴη ἄρα τὰ μὴ ἕν· οὐδὲ γὰρ ἂν οὕτω μὴ ἓν
number would-be then the not one not-even for — so not one
ἦν παντάπασιν, ἀριθμόν γε ἔχοντα. — οὐ γὰρ οὖν.
they-were altogether number at-least having not for indeed
— τί δέ; τὰ μὴ ἓν τοῦ ἑνὸς ἆρα μόριά ἐστιν; ἢ κἂν οὕτω
what and the not one of-the one then parts are or also so
μετεῖχε τοῦ ἑνὸς τὰ μὴ ἕν; — μετεῖχεν. — εἰ ἄρα
would-partake of-the one the not one they-would-partake if then
πάντῃ τὸ μὲν ἕν ἐστι, τὰ δὲ μὴ ἕν, οὔτ' ἂν μόριον τῶν
wholly the indeed one is the(-things) and not one neither — part of-the
μὴ ἓν τὸ ἓν εἴη οὔτε ὅλον ὡς μορίων· οὔτε αὖ τὰ μὴ
not one the one would-be nor whole as of-parts nor again the not
ἓν τοῦ ἑνὸς μόρια, οὔτε ὅλα ὡς μορίῳ τῷ ἑνί. — οὐ γάρ.
one of-the one parts nor wholes as to-part to-the one not for
— ἀλλὰ μὴν ἔφαμεν τὰ μήτε μόρια μήτε ὅλα μήτε
but indeed we-said the(-things) neither parts nor wholes nor
ἕτερα ἀλλήλων ταὐτὰ ἔσεσθαι ἀλλήλοις. — ἔφαμεν
other than-one-another the-same to-be-going-to-be with-one-another we-said
γάρ. — φῶμεν ἄρα καὶ τὸ ἓν πρὸς τὰ μὴ ἓν οὕτως ἔχον
for shall-we-say then also the one toward the not one so being
τὸ αὐτὸ εἶναι αὐτοῖς; — φῶμεν. — τὸ ἓν ἄρα, ὡς ἔοικεν,
the same to-be with-them let-us-say the one then as it-seems

ἕτερόν τε τῶν ἄλλων ἐστὶν καὶ ἑαυτοῦ καὶ ταὐτὸν ἐκείνοις
other both than-the others is and than-itself and the-same with-those
τε καὶ ἑαυτῷ. — κινδυνεύει φαίνεσθαι ἔκ γε τοῦ λόγου.
both and with-itself it-is-likely to-appear from at-least the argument
ἆρ᾽ οὖν καὶ ὅμοιόν τε καὶ ἀνόμοιον ἑαυτῷ τε καὶ τοῖς c
so then also like both and unlike to-itself both and to-the
ἄλλοις; — ἴσως. — ἐπειδὴ γοῦν ἕτερον τῶν ἄλλων
others perhaps since at-any-rate other than-the others
ἐφάνη, καὶ τἆλλά που ἕτερα ἂν ἐκείνου εἴη. — τί μήν;
it-appeared also the-others surely other — than-that would-be what indeed
— οὐκοῦν οὕτως ἕτερον τῶν ἄλλων, ὥσπερ καὶ τἆλλα
therefore so other than-the others as also the-others
ἐκείνου, καὶ οὔτε μᾶλλον οὔτε ἧττον; — τί γὰρ ἄν; — εἰ
than-that and neither more nor less what for — if
ἄρα μήτε μᾶλλον μήτε ἧττον, ὁμοίως. — ναί. — οὐκοῦν
then neither more nor less alike yes therefore
ᾗ ἕτερον εἶναι πέπονθεν τῶν ἄλλων καὶ τἆλλα
in-which other to-be it-has-experienced than-the others and the-others
ἐκείνου ὡσαύτως, ταύτῃ ταὐτὸν ἂν πεπονθότα εἶεν τό
than-that likewise in-this-way the-same — having-experienced would-be the
τε ἓν τοῖς ἄλλοις καὶ τἆλλα τῷ ἑνί. — πῶς λέγεις;
both one with-the others and the-others with-the one how do-you-mean
— ὧδε· ἕκαστον τῶν ὀνομάτων οὐκ ἐπί τινι καλεῖς;
thus each of-the names not upon something do-you-call
— ἔγωγε. — τί οὖν; τὸ αὐτὸ ὄνομα εἴποις ἂν πλεονάκις
I-at-least what then the same name would-you-say — more-often
ἢ ἅπαξ; — ἔγωγε. — πότερον οὖν ἐὰν μὲν ἅπαξ
than once I-at-least whether then if indeed once
εἴπῃς, ἐκεῖνο προσαγορεύεις οὗπέρ ἐστι τοὔνομα, ἐὰν δὲ
you-say that you-address of-which is the-name if but

πολλάκις, οὐκ ἐκεῖνο; ἢ ἐάντε ἅπαξ ἐάντε πολλάκις ταὐτὸν
often not that or whether once or often the-same
ὄνομα φθέγξῃ, πολλὴ ἀνάγκη σε ταὐτὸν καὶ λέγειν ἀεί;
name you-utter much necessity you the-same also to-mean always
e — τί μήν; — οὐκοῦν καὶ τὸ ἕτερον ὄνομά ἐστιν
what indeed therefore also the other name is
ἐπί τινι; — πάνυ γε. — ὅταν ἄρα αὐτὸ φθέγγῃ,
upon something certainly at-least whenever then it you-utter
ἐάντε ἅπαξ ἐάντε πολλάκις, οὐκ ἐπ᾽ ἄλλῳ οὐδὲ ἄλλο
whether once or often not upon other nor other
τι ὀνομάζεις ἢ ἐκεῖνο οὗπερ ἦν ὄνομα. — ἀνάγκη.
anything you-name than that of-which it-was name necessity
— ὅταν δὴ λέγωμεν ὅτι ἕτερον μὲν τἆλλα τοῦ ἑνός,
whenever indeed we-say that other indeed the-others than-the one
ἕτερον δὲ τὸ ἓν τῶν ἄλλων, δὶς τὸ ἕτερον εἰπόντες
other and the one than-the others twice the other having-said
οὐδέν τι μᾶλλον ἐπ᾽ ἄλλῃ, ἀλλ᾽ ἐπ᾽ ἐκείνῃ τῇ φύσει
in-nothing — more upon other but upon that the nature
αὐτὸ ἀεὶ λέγομεν ἥσπερ ἦν τοὔνομα. — πάνυ μὲν οὖν.
it always we-say of-which was the-name certainly indeed then

Being other than the others makes the one like them, being the same makes it unlike, and the reverse; so it is like and unlike itself and the others. It touches itself and the others and does not. Smallness can be in nothing, neither in a whole nor in a part, and so neither can greatness; so the one and the others neither exceed nor are exceeded by each other, and the one is equal to itself and the others.

— ᾗ ἄρα ἕτερον τῶν ἄλλων τὸ ἓν καὶ τἆλλα τοῦ 148
in-which then other than-the others the one and the-others than-the
ἑνός, κατ᾽ αὐτὸ τὸ ἕτερον πεπονθέναι οὐκ ἄλλο ἀλλὰ
one according-to itself the other to-have-experienced not other but
τὸ αὐτὸ ἂν πεπονθὸς εἴη τὸ ἓν τοῖς ἄλλοις· τὸ δέ
the same — having-experienced would-be the one with-the others the and
που ταὐτὸν πεπονθὸς ὅμοιον· οὐχί; — ναί. — ᾗ
surely the-same having-experienced like is-it-not yes in-which
δὴ τὸ ἓν ἕτερον τῶν ἄλλων πέπονθεν εἶναι, κατ᾽
indeed the one other than-the others has-experienced to-be according-to
αὐτὸ τοῦτο ἅπαν ἅπασιν ὅμοιον ἂν εἴη· ἅπαν γὰρ
itself this all to-all like — would-be all for
ἁπάντων ἑτερόν ἐστιν. — ἔοικεν. — ἀλλὰ μὴν τό γε
than-all other is it-seems but indeed the at-least
ὅμοιον τῷ ἀνομοίῳ ἐναντίον. — ναί. — οὐκοῦν καὶ τὸ
like to-the unlike opposite yes therefore also the
ἕτερον τῷ ταὐτῷ. — καὶ τοῦτο. — ἀλλὰ μὴν καὶ τοῦτό
other to-the same also this but indeed also this
γ᾽ ἐφάνη, ὡς ἄρα τὸ ἓν τοῖς ἄλλοις ταὐτόν. — ἐφάνη
at-least appeared that then the one with-the others the-same it-appeared
γάρ. — τοὐναντίον δέ γε πάθος ἐστὶ τὸ εἶναι ταὐτὸν
for the-opposite and at-least experience is the to-be the-same
τοῖς ἄλλοις τῷ ἕτερον εἶναι τῶν ἄλλων. — πάνυ
with-the others to-the other to-be than-the others certainly

γε. — ᾗ γε μὴν ἕτερον, ὅμοιον ἐφάνη. — ναί.
at-least in-which at-least indeed other like it-appeared yes
— ᾗ ἄρα ταὐτόν, ἀνόμοιον ἔσται κατὰ τοὐναντίον
in-which then the-same unlike it-will-be according-to the-opposite
πάθος τῷ ὁμοιοῦντι πάθει. ὡμοίου δέ που τὸ ἕτερον;
experience to-the likening experience it-likened and surely the other
c — ναί. — ἀνομοιώσει ἄρα τὸ ταὐτόν, ἢ οὐκ ἐναντίον
yes will-unliken then the same or not opposite
ἔσται τῷ ἑτέρῳ. — ἔοικεν. — ὅμοιον ἄρα καὶ ἀνόμοιον
it-will-be to-the other it-seems like then and unlike
ἔσται τὸ ἓν τοῖς ἄλλοις, ᾗ μὲν ἕτερον, ὅμοιον, ᾗ
will-be the one to-the others in-which indeed other like in-which
δὲ ταὐτόν, ἀνόμοιον. — ἔχει γὰρ οὖν δή, ὡς ἔοικεν,
and the-same unlike it-has for indeed indeed as it-seems
καὶ τοιοῦτον λόγον. — καὶ γὰρ τόνδε ἔχει. — τίνα;
also such an-argument and for this it-has what
— ᾗ ταὐτὸν πέπονθε, μὴ ἀλλοῖον πεπονθέναι,
in-which the-same it-has-experienced not of-another-sort to-have-experienced
μὴ ἀλλοῖον δὲ πεπονθὸς μὴ ἀνόμοιον, μὴ ἀνόμοιον
not of-another-sort and having-experienced not unlike not unlike
δὲ ὅμοιον εἶναι· ᾗ δ' ἄλλο πέπονθεν, ἀλλοῖον,
and like to-be in-which and other it-has-experienced of-another-sort
ἀλλοῖον δὲ ὂν ἀνόμοιον εἶναι. — ἀληθῆ λέγεις.
of-another-sort and being unlike to-be true-things you-say
— ταὐτόν τε ἄρα ὂν τὸ ἓν τοῖς ἄλλοις καὶ ὅτι ἕτερόν
the-same both then being the one with-the others and because other
ἐστι, κατ' ἀμφότερα καὶ κατὰ ἑκάτερον, ὅμοιόν
it-is according-to both and according-to each like
τε ἂν εἴη καὶ ἀνόμοιον τοῖς ἄλλοις. — πάνυ γε.
both — would-be and unlike to-the others certainly at-least
— οὐκοῦν καὶ ἑαυτῷ ὡσαύτως, ἐπείπερ ἕτερόν τε ἑαυτοῦ
therefore also to-itself likewise since other both than-itself

καὶ ταὐτὸν ἑαυτῷ ἐφάνη, κατ᾽ ἀμφότερα καὶ κατὰ
and the-same with-itself it-appeared according-to both and according-to
ἑκάτερον ὅμοιόν τε καὶ ἀνόμοιον φανήσεται; — ἀνάγκη.
each like both and unlike will-it-appear necessity
τί δὲ δή; περὶ τοῦ ἅπτεσθαι τὸ ἓν αὑτοῦ καὶ τῶν ἄλλων e
what and indeed about the to-touch the one itself and the others
καὶ τοῦ μὴ ἅπτεσθαι πέρι πῶς ἔχει, σκόπει. — σκοπῶ.
and the not to-touch about how it-holds consider I-consider
— αὐτὸ γάρ που ἐν ἑαυτῷ ὅλῳ τὸ ἓν ἐφάνη ὄν. — ὀρθῶς.
itself for surely in itself whole the one appeared being rightly
— οὐκοῦν καὶ ἐν τοῖς ἄλλοις τὸ ἕν; — ναί. — ᾗ μὲν
therefore also in the others the one yes in-which indeed
ἄρα ἐν τοῖς ἄλλοις, τῶν ἄλλων ἅπτοιτο ἄν· ᾗ δὲ
then in the others the others it-would-touch — in-which and
αὐτὸ ἐν ἑαυτῷ, τῶν μὲν ἄλλων ἀπείργοιτο ἅπτεσθαι,
itself in itself the indeed others it-would-be-prevented to-touch
αὐτὸ δὲ αὑτοῦ ἅπτοιτο ἂν ἐν ἑαυτῷ ὄν. — φαίνεται.
itself and itself would-touch — in itself being it-appears
— οὕτω μὲν δὴ ἅπτοιτο ἂν τὸ ἓν αὑτοῦ τε καὶ τῶν
so indeed indeed would-touch — the one itself both and the
ἄλλων. — ἅπτοιτο. — τί δὲ τῇδε; ἆρ᾽ οὐ πᾶν τὸ
others it-would-touch what and in-this-way so not every the(-thing)
μέλλον ἅψεσθαί τινος ἐφεξῆς δεῖ κεῖσθαι ἐκείνῳ οὗ
going to-touch something next must to-lie to-that which
μέλλει ἅπτεσθαι, ταύτην τὴν ἕδραν κατέχον ἢ ἂν μετ᾽
it-is-going to-touch this the seat occupying which — after
ἐκείνην ᾗ ᾗ ἂν κέηται, ἅπτεται; — ἀνάγκη. — καὶ
that be in-which — it-lies it-touches necessity also
τὸ ἓν ἄρα εἰ μέλλει αὐτὸ αὑτοῦ ἅψεσθαι, ἐφεξῆς δεῖ
the one then if it-is-going itself itself to-touch next must

εὐθὺς μετὰ ἑαυτὸ κεῖσθαι, τὴν ἐχομένην χώραν κατέχον
at-once after itself lie the adjoining place occupying
ἐκείνης ἐν ᾗ αὐτό ἐστιν. — δεῖ γὰρ οὖν.
that in which itself is it-must for indeed
149 — οὐκοῦν δύο μὲν ὂν τὸ ἓν ποιήσειεν ἂν ταῦτα καὶ ἐν
therefore two indeed being the one would-do — these-things and in
δυοῖν χώραιν ἅμα γένοιτο· ἕως δ' ἂν ᾖ ἕν, οὐκ
two places at-once would-come-to-be as-long-as and — it-be one not
ἐθελήσει; — οὐ γὰρ οὖν. — ἡ αὐτὴ ἄρα ἀνάγκη τῷ
will-it-be-willing not for indeed the same then necessity for-the
ἑνὶ μήτε δύο εἶναι μήτε ἅπτεσθαι αὐτῷ αὑτοῦ. — ἡ αὐτή.
one neither two to-be nor to-touch itself itself the same
— ἀλλ' οὐδὲ μὴν τῶν ἄλλων ἅψεται. — τί δή; — ὅτι,
but not-even indeed the others it-will-touch why indeed because
φαμέν, τὸ μέλλον ἅψεσθαι χωρὶς ὂν ἐφεξῆς δεῖ ἐκείνῳ
we-say the(-thing) going to-touch apart being next must to-that
εἶναι οὗ μέλλει ἅψεσθαι, τρίτον δὲ αὐτῶν ἐν μέσῳ μηδὲν
to-be which it-is-going to-touch third and of-them in middle nothing
εἶναι. — ἀληθῆ. — δύο ἄρα δεῖ τὸ ὀλίγιστον εἶναι, εἰ
to-be true-things two then must the least to-be if
μέλλει ἅψις εἶναι. — δεῖ. — ἐὰν δὲ τοῖν δυοῖν ὅροιν
there-is-going a-contact to-be it-must if and to-the two terms
τρίτον προσγένηται ἑξῆς, αὐτὰ μὲν τρία ἔσται, αἱ δὲ ἅψεις
a-third be-added in-order they indeed three will-be the and contacts
δύο. — ναί. — καὶ οὕτω δὴ ἀεὶ ἑνὸς προσγιγνομένου
two yes and so indeed always one being-added
μία καὶ ἅψις προσγίγνεται, καὶ συμβαίνει τὰς ἅψεις τοῦ
one also contact is-added and it-results the contacts than-the
πλήθους τῶν ἀριθμῶν μιᾷ ἐλάττους εἶναι. ᾧ γὰρ τὰ
multitude of-the numbers by-one fewer to-be by-what for the
πρῶτα δύο ἐπλεονέκτησεν τῶν ἅψεων εἰς τὸ πλείω εἶναι τὸν
first two exceeded the contacts for the more to-be the

ἀριθμὸν ἢ τὰς ἅψεις, τῷ ἴσῳ τούτῳ καὶ ὁ ἔπειτα ἀριθμὸς
number than the contacts by-the equal this also the subsequent number
πᾶς πασῶν τῶν ἅψεων πλεονεκτεῖ· ἤδη γὰρ τὸ λοιπὸν ἅμα
all all the contacts exceeds already for — henceforth at-once
ἕν τε τῷ ἀριθμῷ προσγίγνεται καὶ μία ἅψις ταῖς ἅψεσιν.
one both to-the number is-added and one contact to-the contacts
— ὀρθῶς. — ὅσα ἄρα ἐστὶν τὰ ὄντα τὸν ἀριθμόν, d
rightly as-many-as then are the beings the number
ἀεὶ μιᾷ αἱ ἅψεις ἐλάττους εἰσὶν αὐτῶν. — ἀληθῆ. — εἰ
always by-one the contacts fewer are than-them true-things if
δέ γε ἓν μόνον ἐστίν, δυὰς δὲ μὴ ἔστιν, ἅψις οὐκ ἂν
and at-least one only is two and not is contact not —
εἴη. — πῶς γάρ; — οὔκουν, φαμέν, τὰ ἄλλα τοῦ ἑνὸς
would-be how for not-then we-say the others than-the one
οὔτε ἕν ἐστιν οὔτε μετέχει αὐτοῦ, εἴπερ ἄλλα ἐστίν. — οὐ
neither one are nor partake of-it if-indeed others they-are not
γάρ. — οὐκ ἄρα ἔνεστιν ἀριθμὸς ἐν τοῖς ἄλλοις, ἑνὸς μὴ
for not then is-in number in the others one not
ἐνόντος ἐν αὐτοῖς. — πῶς γάρ; — οὔτ' ἄρα ἕν ἐστι τὰ
being-in in them how for neither then one are the
ἄλλα οὔτε δύο οὔτε ἄλλου ἀριθμοῦ ἔχοντα ὄνομα οὐδέν.
others nor two nor of-other number having name any
— οὔ. — τὸ ἓν ἄρα μόνον ἐστὶν ἕν, καὶ δυὰς οὐκ ἂν εἴη.
no the one then only is one and two not — would-be
— οὐ φαίνεται. — ἅψις ἄρα οὐκ ἔστιν δυοῖν μὴ ὄντοιν.
not it-appears contact then not is of-two not being
— οὐκ ἔστιν. — οὔτ' ἄρα τὸ ἓν τῶν ἄλλων ἅπτεται
not there-is neither then the one the others touches
οὔτε τὰ ἄλλα τοῦ ἑνός, ἐπείπερ ἅψις οὐκ ἔστιν. — οὐ γὰρ
nor the others the one since contact not is not for

οὖν. — οὕτω δὴ κατὰ πάντα ταῦτα τὸ ἓν τῶν τε
indeed so indeed according-to all these the one the both
ἄλλων καὶ ἑαυτοῦ ἅπτεταί τε καὶ οὐχ ἅπτεται. — ἔοικεν.
others and itself touches both and not touches it-seems
e ἆρ᾽ οὖν καὶ ἴσον ἐστὶ καὶ ἄνισον αὑτῷ τε καὶ τοῖς ἄλλοις;
so then also equal is-it and unequal to-itself both and to-the others
— πῶς; — εἰ μεῖζον εἴη τὸ ἓν ἢ τἆλλα ἢ ἔλαττον,
how if greater were the one than the-others or less
ἢ αὖ τὰ ἄλλα τοῦ ἑνὸς μείζω ἢ ἐλάττω, ἆρα οὐκ
or again the others than-the one greater or less then not
ἂν τῷ μὲν ἓν εἶναι τὸ ἓν καὶ τἆλλα ἄλλα τοῦ ἑνὸς
— *by-the indeed one to-be the one and the-others others than-the one*
οὔτε τι μείζω οὔτε τι ἐλάττω ἂν εἴη ἀλλήλων
neither any greater nor any less — would-they-be than-one-another
αὐταῖς γε ταύταις ταῖς οὐσίαις; ἀλλ᾽ εἰ μὲν πρὸς
by-the-very at-least these the beings but if indeed in-addition-to
τῷ τοιαῦτα εἶναι ἑκάτερα ἰσότητα ἔχοιεν, ἴσα ἂν
the such to-be each equality they-should-have equal —
εἴη πρὸς ἄλληλα· εἰ δὲ τὰ μὲν μέγεθος, τὸ
they-would-be toward one-another if and the(-ones) indeed greatness the(-other)
δὲ σμικρότητα, ἢ καὶ μέγεθος μὲν τὸ ἕν, σμικρότητα δὲ
and smallness or also greatness indeed the one smallness and
τἆλλα, ὁποτέρῳ μὲν τῷ εἴδει μέγεθος προσείη, μεῖζον
the-others to-whichever indeed the form greatness should-be-present greater
ἂν εἴη, ᾧ δὲ σμικρότης, ἔλαττον; — ἀνάγκη.
— would-be to-which and smallness less necessity
150 — οὐκοῦν ἐστόν γέ τινε τούτω εἴδη, τό τε μέγεθος
therefore the-two-are at-least some-two these-two forms the both greatness
καὶ ἡ σμικρότης; οὐ γὰρ ἄν που μὴ ὄντε γε ἐναντίω
and the smallness not for — surely not being-the-two at-least opposite
τε ἀλλήλοιν εἴτην καὶ ἐν τοῖς οὖσιν ἐγγιγνοίσθην.
both to-one-another the-two-would-be and in the beings the-two-would-come-to-be

— πῶς γὰρ ἄν; εἰ ἄρα ἐν τῷ ἑνὶ σμικρότης ἐγγίγνεται,
how for — if then in the one smallness comes-to-be
ἤτοι ἐν ὅλῳ ἂν ἢ ἐν μέρει αὐτοῦ ἐνείη. — ἀνάγκη.
either in whole — or in part of-it it-would-be-in necessity
— τί δ' εἰ ἐν ὅλῳ ἐγγίγνοιτο; οὐχὶ ἢ ἐξ ἴσου ἂν
what and if in whole it-should-come-to-be not either on equal(-terms) —
τῷ ἑνὶ δι' ὅλου αὐτοῦ τεταμένη εἴη ἢ περιέχουσα
with-the one through whole of-it stretched-out would-it-be or surrounding
αὐτό; — δῆλον δή. — ἆρ' οὖν οὐκ ἐξ ἴσου μὲν οὖσα
it clear indeed so then not on equal(-terms) indeed being
ἡ σμικρότης τῷ ἑνὶ ἴση ἂν αὐτῷ εἴη, περιέχουσα δὲ
the smallness with-the one equal — to-it would-be surrounding and
μείζων; — πῶς δ' οὔ; — δυνατὸν οὖν σμικρότητα ἴσην
greater how and not possible then smallness equal
τῳ εἶναι ἢ μείζω τινός, καὶ πράττειν τὰ μεγέθους
to-anything to-be or greater than-anything and to-do the(-works) of-greatness
τε καὶ ἰσότητος, ἀλλὰ μὴ τὰ ἑαυτῆς; — ἀδύνατον.
both and of-equality but not the(-works) of-itself impossible
— ἐν μὲν ὅλῳ ἄρα τῷ ἑνὶ οὐκ ἂν εἴη σμικρότης, ἀλλ'
in indeed whole then the one not — would-be smallness but
εἴπερ, ἐν μέρει. — ναί. — οὐδέ γε ἐν παντὶ αὖ τῷ
if-indeed in part yes nor at-least in whole again the
μέρει· εἰ δὲ μή, ταὐτὰ ποιήσει ἅπερ πρὸς τὸ ὅλον·
part if and not the-same-things it-will-do what-very toward the whole
ἴση ἔσται ἢ μείζων τοῦ μέρους ἐν ᾧ ἂν ἀεὶ ἐνῇ.
equal it-will-be or greater than-the part in which — always it-is-in
— ἀνάγκη. — οὐδενί ποτε ἄρα ἐνέσται τῶν ὄντων c
necessity in-nothing ever then will-be-in of-the beings
σμικρότης, μήτ' ἐν μέρει μήτ' ἐν ὅλῳ ἐγγιγνομένη· οὐδέ
smallness either in part or in whole coming-to-be-in nor
τι ἔσται σμικρὸν πλὴν αὐτῆς σμικρότητος. — οὐκ
anything will-be small except itself smallness not

ἔοικεν. — οὐδ' ἄρα μέγεθος ἐνέσται ἐν αὐτῷ· μεῖζον γὰρ
it-seems nor then greatness will-be-in in it greater for
ἄν τι εἴη ἄλλο καὶ πλὴν αὐτοῦ μεγέθους, ἐκεῖνο
— anything would-be other and besides itself greatness that
ἐν ᾧ τὸ μέγεθος ἐνείη, καὶ ταῦτα σμικροῦ αὐτῷ
in which the greatness would-be-in and these-things small for-it
οὐκ ὄντος, οὗ ἀνάγκη ὑπερέχειν, ἐάνπερ ᾖ μέγα· τοῦτο
not being which necessity to-exceed if-indeed it-be great this
δὲ ἀδύνατον, ἐπειδὴ σμικρότης οὐδαμοῦ ἔνι. — ἀληθῆ.
but impossible since smallness nowhere is-in true-things
— ἀλλὰ μὴν αὐτὸ μέγεθος οὐκ ἄλλου μεῖζον ἢ αὐτῆς
but indeed itself greatness not than-other greater than itself
σμικρότητος, οὐδὲ σμικρότης ἄλλου ἔλαττον ἢ αὐτοῦ
smallness nor smallness than-other less than itself
μεγέθους. — οὐ γάρ. — οὔτε ἄρα τὰ ἄλλα μείζω τοῦ
greatness not for neither then the others greater than-the
ἑνὸς οὐδὲ ἐλάττω, μήτε μέγεθος μήτε σμικρότητα ἔχοντα,
one nor less neither greatness nor smallness having
οὔτε αὐτὼ τούτω πρὸς τὸ ἓν ἔχετον τὴν δύναμιν τὴν
nor themselves these-two toward the one the-two-have the power the
τοῦ ὑπερέχειν καὶ ὑπερέχεσθαι, ἀλλὰ πρὸς ἀλλήλω, οὔτε
of-the to-exceed and to-be-exceeded but toward one-another nor
αὖ τὸ ἓν τούτοιν οὐδὲ τῶν ἄλλων μεῖζον ἂν οὐδ'
again the one than-these-two nor than-the others greater — nor
ἔλαττον εἴη, μήτε μέγεθος μήτε σμικρότητα ἔχον.
less would-be neither greatness nor smallness having
e — οὔκουν φαίνεταί γε. — ἆρ' οὖν, εἰ μήτε μεῖζον μήτε
not-then it-appears at-least so then if neither greater nor
ἔλαττον τὸ ἓν τῶν ἄλλων, ἀνάγκη αὐτὸ ἐκείνων μήτε
less the one than-the others necessity it of-those neither
ὑπερέχειν μήτε ὑπερέχεσθαι; — ἀνάγκη. — οὐκοῦν τό
to-exceed nor to-be-exceeded necessity therefore the

γε μήτε ὑπερέχον μήτε ὑπερεχόμενον πολλὴ ἀνάγκη ἐξ
at-least neither exceeding nor being-exceeded much necessity on
ἴσου εἶναι, ἐξ ἴσου δὲ ὂν ἴσον εἶναι. — πῶς γὰρ
equal(-terms) to-be on equal(-terms) and being equal to-be how for
οὔ; — καὶ μὴν καὶ αὐτό γε τὸ ἓν πρὸς ἑαυτὸ οὕτως ἂν
not and indeed also itself at-least the one toward itself so —
ἔχοι· μήτε μέγεθος ἐν ἑαυτῷ μήτε σμικρότητα ἔχον οὔτ'
would-hold neither greatness in itself nor smallness having neither
ἂν ὑπερέχοιτο οὔτ' ἂν ὑπερέχοι ἑαυτοῦ, ἀλλ' ἐξ ἴσου
— would-it-be-exceeded nor — would-it-exceed itself but on equal(-terms)
ὂν ἴσον ἂν εἴη ἑαυτῷ. — πάνυ μὲν οὖν. — τὸ ἓν
being equal — would-be to-itself certainly indeed then the one
ἄρα ἑαυτῷ τε καὶ τοῖς ἄλλοις ἴσον ἂν εἴη. — φαίνεται.
then to-itself both and to-the others equal — would-be it-appears

XII · GREATER, LESS, AND TIME

The one is in itself and around itself, and it and the others are in each other, so it is greater, less, and equal to itself and the others, and more, fewer, and equal in number. Since it is, it partakes of time: becoming older than itself, it becomes younger too, and at the now it is both, while over equal time it is neither. The others, being many, came after it, so it is older; yet it comes to be with its end, which comes last, so it is younger. Yet it also comes to be with every part at once.

— καὶ μὴν αὐτό γε ἐν ἑαυτῷ ὂν καὶ περὶ ἑαυτὸ ἂν 151
and indeed itself at-least in itself being also about itself —
εἴη ἔξωθεν, καὶ περιέχον μὲν μεῖζον ἂν ἑαυτοῦ εἴη,
would-be from-outside and surrounding indeed greater — than-itself would-be
περιεχόμενον δὲ ἔλαττον, καὶ οὕτω μεῖζον ἂν καὶ ἔλαττον
being-surrounded and less and so greater — and less
εἴη αὐτὸ ἑαυτοῦ τὸ ἕν. — εἴη γὰρ ἄν. — οὐκοῦν
would-be itself than-itself the one it-would-be for — therefore

καὶ τόδε ἀνάγκη, μηδὲν εἶναι ἐκτὸς τοῦ ἑνός τε καὶ τῶν
also this necessity nothing to-be outside the one both and the
ἄλλων; — πῶς γὰρ οὔ; — ἀλλὰ μὴν καὶ εἶναί που δεῖ
others how for not but indeed also to-be surely must
τό γε ὂν ἀεί. — ναί. — οὐκοῦν τό γε ἕν τῳ ὂν
the at-least being always yes therefore the at-least in something being
ἐν μείζονι ἔσται ἔλαττον ὄν; οὐ γὰρ ἂν ἄλλως ἕτερον ἐν
in greater will-be less being not for — otherwise other in
ἑτέρῳ εἴη. — οὐ γάρ. — ἐπειδὴ δὲ οὐδὲν ἕτερον ἔστι
other would-be not for since and nothing other is
χωρὶς τῶν ἄλλων καὶ τοῦ ἑνός, δεῖ δὲ αὐτὰ ἕν τῳ
apart-from the others and the one must and them in something
εἶναι, οὐκ ἀνάγκη ἤδη ἐν ἀλλήλοις εἶναι, τά τε ἄλλα
to-be not necessity already in one-another to-be the both others
ἐν τῷ ἑνὶ καὶ τὸ ἓν ἐν τοῖς ἄλλοις, ἢ μηδαμοῦ εἶναι;
in the one and the one in the others or nowhere to-be
— φαίνεται. — ὅτι μὲν ἄρα τὸ ἓν ἐν τοῖς ἄλλοις ἔνεστι,
it-appears because indeed then the one in the others is-in
μείζω ἂν εἴη τὰ ἄλλα τοῦ ἑνός, περιέχοντα αὐτό, τὸ
greater — would-be the others than-the one surrounding it the
δὲ ἓν ἔλαττον τῶν ἄλλων, περιεχόμενον· ὅτι δὲ τὰ
and one less than-the others being-surrounded because and the
ἄλλα ἐν τῷ ἑνί, τὸ ἓν τῶν ἄλλων κατὰ τὸν αὐτὸν
others in the one the one than-the others according-to the same
λόγον μεῖζον ἂν εἴη, τὰ δὲ ἄλλα τοῦ ἑνὸς ἐλάττω.
argument greater — would-be the and others than-the one less
c — ἔοικεν. — τὸ ἓν ἄρα ἴσον τε καὶ μεῖζον καὶ ἔλαττόν
it-seems the one then equal both and greater and less
ἐστιν αὐτό τε αὑτοῦ καὶ τῶν ἄλλων. — φαίνεται. — καὶ
is itself both than-itself and than-the others it-appears and
μὴν εἴπερ μεῖζον καὶ ἔλαττον καὶ ἴσον, ἴσων ἂν εἴη
indeed if-indeed greater and less and equal of-equal — it-would-be

μέτρων καὶ πλειόνων καὶ ἐλαττόνων αὑτῷ καὶ τοῖς ἄλλοις,
measures and of-more and of-fewer to-itself and to-the others
ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν. — πῶς δ᾽ οὔ; — ἴσων μὲν
since and of-measures also of-parts how and not of-equal indeed
ἄρα μέτρων ὂν καὶ πλειόνων καὶ ἐλαττόνων, καὶ ἀριθμῷ
then measures being and of-more and of-fewer also in-number
ἔλαττον ἂν καὶ πλέον εἴη αὐτό τε αὑτοῦ καὶ τῶν
less — and more would-be itself both than-itself and than-the
ἄλλων καὶ ἴσον αὑτῷ τε καὶ τοῖς ἄλλοις κατὰ ταὐτά.
others and equal to-itself both and to-the others according-to the-same
— πῶς; — ὥνπερ μεῖζόν ἐστι, πλειόνων που καὶ
how than-which-very greater it-is of-more surely also
μέτρων ἂν εἴη αὐτῶν, ὅσων δὲ μέτρων, καὶ μερῶν·
measures — it-would-be than-them as-many-as and measures also of-parts
καὶ ὧν ἔλαττον, ὡσαύτως· καὶ οἷς ἴσον, κατὰ
and than-which less likewise and with-which equal according-to
ταὐτά. — οὕτως. — οὐκοῦν ἑαυτοῦ μεῖζον καὶ ἔλαττον
the-same so therefore than-itself greater and less
ὂν καὶ ἴσον ἴσων ἂν εἴη μέτρων καὶ πλειόνων καὶ
being and equal of-equal — would-it-be measures and of-more and
ἐλαττόνων αὑτῷ, ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν; — πῶς
of-fewer to-itself since and of-measures also of-parts how
δ᾽ οὔ; — ἴσων μὲν ἄρα μερῶν ὂν αὑτῷ ἴσον ἂν τὸ
and not of-equal indeed then parts being with-itself equal — the
πλῆθος αὑτῷ εἴη, πλειόνων δὲ πλέον, ἐλαττόνων δὲ
multitude to-itself would-be of-more and more of-fewer and
ἔλαττον τὸν ἀριθμὸν αὑτοῦ. — φαίνεται. — οὐκοῦν καὶ
fewer the number than-itself it-appears therefore also
πρὸς τἆλλα ὡσαύτως ἕξει τὸ ἕν; ὅτι μὲν μεῖζον αὐτῶν
toward the-others likewise will-hold the one because indeed greater than-them
φαίνεται, ἀνάγκη πλέον εἶναι καὶ τὸν ἀριθμὸν αὐτῶν· ὅτι
it-appears necessity more to-be also the number than-them because

δὲ σμικρότερον, ἔλαττον· ὅτι δὲ ἴσον μεγέθει, ἴσον καὶ
and smaller fewer because and equal in-magnitude equal also
τὸ πλῆθος εἶναι τοῖς ἄλλοις; — ἀνάγκη. — οὕτω δὴ
the multitude to-be with-the others necessity so indeed
αὖ, ὡς ἔοικε, τὸ ἓν καὶ ἴσον καὶ πλέον καὶ ἔλαττον τὸν
again as it-seems the one both equal and more and fewer the
ἀριθμὸν αὐτό τε αὑτοῦ ἔσται καὶ τῶν ἄλλων. — ἔσται.
number itself both than-itself will-be and than-the others will-be
ἆρ' οὖν καὶ χρόνου μετέχει τὸ ἕν, καὶ ἐστί τε καὶ
so then also of-time partakes the one and is both and
γίγνεται νεώτερόν τε καὶ πρεσβύτερον αὐτό τε ἑαυτοῦ
becomes younger both and older itself both than-itself
καὶ τῶν ἄλλων, καὶ οὔτε νεώτερον οὔτε πρεσβύτερον
and than-the others and neither younger nor older
οὔτε ἑαυτοῦ οὔτε τῶν ἄλλων, χρόνου μετέχον; — πῶς;
either than-itself or than-the others of-time partaking how
— εἶναι μέν που αὐτῷ ὑπάρχει, εἴπερ ἓν ἔστιν. — ναί.
to-be indeed surely to-it belongs if-indeed one is yes
152 — τὸ δὲ εἶναι ἄλλο τί ἐστιν ἢ μέθεξις οὐσίας μετὰ
the and to-be other anything is than participation of-being with
χρόνου τοῦ παρόντος, ὥσπερ τὸ ἦν μετὰ τοῦ παρεληλυθότος
time the present as the was with the past
καὶ αὖ τὸ ἔσται μετὰ τοῦ μέλλοντος οὐσίας ἐστὶ
and again the will-be with the future of-being is
κοινωνία; — ἔστι γάρ. — μετέχει μὲν ἄρα χρόνου, εἴπερ
communion it-is for it-partakes indeed then of-time if-indeed
καὶ τοῦ εἶναι. — πάνυ γε. — οὐκοῦν πορευομένου τοῦ
also of-the to-be certainly at-least therefore advancing the
χρόνου; — ναί. — ἀεὶ ἄρα πρεσβύτερον γίγνεται ἑαυτοῦ,
time yes always then older it-becomes than-itself
εἴπερ προέρχεται κατὰ χρόνον. — ἀνάγκη. — ἆρ'
if-indeed it-goes-forward according-to time necessity so

οὖν μεμνήμεθα ὅτι νεωτέρου γιγνομένου τὸ πρεσβύτερον
then do-we-remember that than-younger becoming the older
πρεσβύτερον γίγνεται; — μεμνήμεθα. — οὐκοῦν ἐπειδὴ
older becomes we-remember therefore since
πρεσβύτερον ἑαυτοῦ γίγνεται τὸ ἕν, νεωτέρου ἂν γιγνομένου
older than-itself becomes the one younger — becoming
ἑαυτοῦ πρεσβύτερον γίγνοιτο; — ἀνάγκη. — γίγνεται
than-itself older it-would-become necessity it-becomes
μὲν δὴ νεώτερόν τε καὶ πρεσβύτερον αὑτοῦ οὕτω.
indeed indeed younger both and older than-itself so
— ναί. — ἔστι δὲ πρεσβύτερον ἆρ᾽ οὐχ ὅταν κατὰ
yes is and older so not whenever according-to
τὸν νῦν χρόνον ᾖ γιγνόμενον τὸν μεταξὺ τοῦ ἦν τε
the now time it-be becoming the(-time) between the was both
καὶ ἔσται; οὐ γάρ που πορευόμενόν γε ἐκ τοῦ ποτὲ εἰς
and will-be not for surely going at-least from the once to
τὸ ἔπειτα ὑπερβήσεται τὸ νῦν. — οὐ γάρ. — ἆρ᾽ οὖν οὐκ
the hereafter it-will-overstep the now not for so then not
ἐπίσχει τότε τοῦ γίγνεσθαι πρεσβύτερον, ἐπειδὰν τῷ νῦν
it-stops then of-the becoming older whenever with-the now
ἐντύχῃ, καὶ οὐ γίγνεται, ἀλλ᾽ ἔστι τότ᾽ ἤδη πρεσβύτερον;
it-meets and not becomes but is then already older
προϊὸν γὰρ οὐκ ἄν ποτε ληφθείη ὑπὸ τοῦ νῦν. τὸ d
going-forward for not — ever it-would-be-caught by the now the
γὰρ προϊὸν οὕτως ἔχει ὡς ἀμφοτέρων ἐφάπτεσθαι, τοῦ
for going-forward so holds that both to-lay-hold-of the
τε νῦν καὶ τοῦ ἔπειτα, τοῦ μὲν νῦν ἀφιέμενον, τοῦ δ᾽
both now and the hereafter the indeed now letting-go the and
ἔπειτα ἐπιλαμβανόμενον, μεταξὺ ἀμφοτέρων γιγνόμενον,
hereafter taking-hold-of between both becoming
τοῦ τε ἔπειτα καὶ τοῦ νῦν. — ἀληθῆ. — εἰ δέ γε
the both hereafter and the now true-things if and at-least

ἀνάγκη μὴ παρελθεῖν τὸ νῦν πᾶν τὸ γιγνόμενον, ἐπειδὰν
necessity not to-pass-by the now every the becoming(-thing) whenever
κατὰ τοῦτο ᾖ, ἐπίσχει ἀεὶ τοῦ γίγνεσθαι καὶ ἔστι
according-to this it-be it-stops always of-the becoming and is
τότε τοῦτο ὅτι ἂν τύχῃ γιγνόμενον. — φαίνεται.
then this whatever — it-happens becoming it-appears
— καὶ τὸ ἓν ἄρα, ὅταν πρεσβύτερον γιγνόμενον
also the one then whenever older becoming
ἐντύχῃ τῷ νῦν, ἐπέσχεν τοῦ γίγνεσθαι καὶ ἔστι τότε
it-meets-with the now stopped of-the becoming and is then
πρεσβύτερον. — πάνυ μὲν οὖν. — οὐκοῦν οὗπερ
older certainly indeed then therefore than-which-very
ἐγίγνετο πρεσβύτερον, τούτου καὶ ἔστιν· ἐγίγνετο δὲ
it-was-becoming older than-this also is-it it-was-becoming and
αὐτοῦ; — ναί. — ἔστι δὲ τὸ πρεσβύτερον νεωτέρου
than-itself yes is and the older than-younger
πρεσβύτερον; — ἔστιν. — καὶ νεώτερον ἄρα τότε αὐτοῦ
older it-is also younger then then than-itself
ἐστι τὸ ἕν, ὅταν πρεσβύτερον γιγνόμενον ἐντύχῃ τῷ
is the one whenever older becoming it-meets-with the
νῦν. — ἀνάγκη. — τό γε μὴν νῦν ἀεὶ πάρεστι τῷ
now necessity the at-least indeed now always is-present to-the
ἑνὶ διὰ παντὸς τοῦ εἶναι· ἔστι γὰρ ἀεὶ νῦν ὅτανπερ ᾖ.
one through all the to-be it-is for always now whenever it-be
— πῶς γὰρ οὔ; — ἀεὶ ἄρα ἐστί τε καὶ γίγνεται
how for not always then is both and becomes
πρεσβύτερον ἑαυτοῦ καὶ νεώτερον τὸ ἕν. — ἔοικεν. — πλείω
older than-itself and younger the one it-seems more
δὲ χρόνον αὐτὸ ἑαυτοῦ ἔστιν ἢ γίγνεται, ἢ τὸν ἴσον; — τὸν
and time itself than-itself is or becomes or the equal the
ἴσον. — ἀλλὰ μὴν τόν γε ἴσον χρόνον ἢ γιγνόμενον ἢ
equal but indeed the at-least equal time either becoming or

ὂν τὴν αὐτὴν ἡλικίαν ἔχει. — πῶς δ' οὔ; — τὸ δὲ τὴν
being the same age has how and not the and the
αὐτὴν ἡλικίαν ἔχον οὔτε πρεσβύτερον οὔτε νεώτερόν ἐστιν.
same age having neither older nor younger is
— οὐ γάρ. — τὸ ἓν ἄρα τὸν ἴσον χρόνον αὐτὸ ἑαυτῷ καὶ
not for the one then the equal time itself with-itself both
γιγνόμενον καὶ ὂν οὔτε νεώτερον οὔτε πρεσβύτερον ἑαυτοῦ
becoming and being neither younger nor older than-itself
ἐστιν οὐδὲ γίγνεται. — οὔ μοι δοκεῖ. — τί δέ; τῶν ἄλλων;
is nor becomes not to-me it-seems what and than-the others
— οὐκ ἔχω λέγειν. — τόδε γε μὴν ἔχεις λέγειν, ὅτι τὰ 153
not I-can to-say this at-least indeed you-can to-say that the
ἄλλα τοῦ ἑνός, εἴπερ ἕτερά ἐστιν, ἀλλὰ μὴ ἕτερον, πλείω
others than-the one if-indeed others they-are but not other more
ἐστὶν ἑνός· ἕτερον μὲν γὰρ ὂν ἓν ἂν ἦν, ἕτερα δὲ ὄντα
are than-one other indeed for being one — it-would-be others and being
πλείω ἑνός ἐστι καὶ πλῆθος ἂν ἔχοι. — ἔχοι γὰρ
more than-one are and multitude — would-have they-would-have for
ἄν. — πλῆθος δὲ ὂν ἀριθμοῦ πλείονος ἂν μετέχοι ἢ τοῦ
— *multitude and being of-number greater — it-would-partake than of-the*
ἑνός. — πῶς δ' οὔ; — τί οὖν; ἀριθμοῦ φήσομεν τὰ πλείω
one how and not what then of-number shall-we-say the more
γίγνεσθαί τε καὶ γεγονέναι πρότερον, ἢ τὰ ἐλάττω; — τὰ
to-become both and to-have-become earlier or the fewer the
ἐλάττω. — τὸ ὀλίγιστον ἄρα πρῶτον· τοῦτο δ' ἔστι τὸ ἕν.
fewer the least then first this and is the one
ἦ γάρ; — ναί. — πάντων ἄρα τὸ ἓν πρῶτον γέγονε
is-it-not for yes of-all then the one first has-become
τῶν ἀριθμὸν ἐχόντων· ἔχει δὲ καὶ τἆλλα πάντα ἀριθμόν,
of-the number having(-things) have and also the-others all number
εἴπερ ἄλλα καὶ μὴ ἄλλο ἐστίν. — ἔχει γάρ. — πρῶτον δέ
if-indeed others and not other they-are they-have for first and

γε οἶμαι γεγονὸς πρότερον γέγονε, τὰ δὲ ἄλλα ὕστερον,
at-least I-think having-become earlier has-become the and others later
τὰ δ' ὕστερον γεγονότα νεώτερα τοῦ πρότερον
the(-things) and later having-become younger than-the earlier
γεγονότος· καὶ οὕτως ἂν εἴη τἆλλα νεώτερα τοῦ ἑνός,
having-become and so — would-be the-others younger than-the one
τὸ δὲ ἓν πρεσβύτερον τῶν ἄλλων. — εἴη γὰρ ἄν.
the and one older than-the others it-would-be for —
c τί δὲ τόδε; ἆρ' ἂν εἴη τὸ ἓν παρὰ φύσιν τὴν
what and this so — would-be the one contrary-to nature the
αὑτοῦ γεγονός, ἢ ἀδύνατον; — ἀδύνατον. — ἀλλὰ μὴν
its-own having-become or impossible impossible but indeed
μέρη γε ἔχον ἐφάνη τὸ ἕν, εἰ δὲ μέρη, καὶ ἀρχὴν καὶ
parts at-least having appeared the one if and parts also beginning and
τελευτὴν καὶ μέσον. — ναί. — οὐκοῦν πάντων πρῶτον
end and middle yes therefore of-all first
ἀρχὴ γίγνεται, καὶ αὐτοῦ τοῦ ἑνὸς καὶ ἑκάστου τῶν
beginning comes-to-be both of-itself the one and of-each of-the
ἄλλων, καὶ μετὰ τὴν ἀρχὴν καὶ τἆλλα πάντα μέχρι τοῦ
others and after the beginning also the-others all up-to the
τέλους; — τί μήν; — καὶ μὴν μόριά γε φήσομεν
end what indeed and indeed parts at-least we-shall-say
ταῦτ' εἶναι πάντα τἆλλα τοῦ ὅλου τε καὶ ἑνός, αὐτὸ δὲ
these to-be all the-others of-the whole both and one itself and
ἐκεῖνο ἅμα τῇ τελευτῇ γεγονέναι ἕν τε καὶ
that at-the-same-time with-the end to-have-come-to-be one both and
ὅλον. — φήσομεν γάρ. — τελευτὴ δέ γε οἶμαι ὕστατον
whole we-shall-say for end and at-least I-think last
γίγνεται, τούτῳ δ' ἅμα τὸ ἓν πέφυκε γίγνεσθαι· ὥστ'
comes-to-be with-this and together the one is-by-nature to-come-to-be so-that
εἴπερ ἀνάγκη αὐτὸ τὸ ἓν μὴ παρὰ φύσιν γίγνεσθαι, ἅμα
if-indeed necessity itself the one not contrary-to nature to-come-to-be together

τελευτῇ ἂν γεγονὸς ὕστατον ἂν τῶν ἄλλων πεφυκὸς
with-end — having-come-to-be last — of-the others being-by-nature
εἴη γίγνεσθαι. — φαίνεται. — νεώτερον ἄρα τῶν
would-be to-come-to-be it-appears younger then than-the
ἄλλων τὸ ἕν ἐστι, τὰ δ' ἄλλα τοῦ ἑνὸς πρεσβύτερα.
others the one is the and others than-the one older
— οὕτως αὖ μοι φαίνεται. — τί δὲ δή; ἀρχὴν ἢ ἄλλο e
so again to-me it-appears what and indeed beginning or other
μέρος ὁτιοῦν τοῦ ἑνὸς ἢ ἄλλου ὁτουοῦν, ἐάνπερ μέρος
part any-whatever of-the one or of-other whatever if-indeed part
ᾖ ἀλλὰ μὴ μέρη, οὐκ ἀναγκαῖον ἓν εἶναι, μέρος γε
it-be but not parts not necessary one to-be part at-least
ὄν; — ἀνάγκη. — οὐκοῦν τὸ ἓν ἅμα τε τῷ πρώτῳ
being necessity therefore the one together both with-the first
γιγνομένῳ γίγνοιτ' ἂν καὶ ἅμα τῷ δευτέρῳ, καὶ
coming-to-be would-come-to-be — and together with-the second and
οὐδενὸς ἀπολείπεται τῶν ἄλλων γιγνομένων, ὅτιπερ ἂν
from-nothing falls-short of-the others coming-to-be whatever —
προσγίγνηται ὁτῳοῦν, ἕως ἂν πρὸς τὸ ἔσχατον διελθὸν
is-added to-whatever until — to the last having-gone-through
ὅλον ἓν γένηται, οὔτε μέσου οὔτε πρώτου οὔτε ἐσχάτου
whole one it-becomes neither of-middle nor of-first nor of-last
οὔτε ἄλλου οὐδενὸς ἀπολειφθὲν ἐν τῇ γενέσει. — ἀληθῆ.
nor of-other any having-fallen-short in the generation true-things

Coming to be at once with every part, the one is the same age as the others, neither older nor younger, though by the earlier argument both. A difference in age stays the same when equal times are added, so nothing becomes older or younger than another. Yet the added time is a smaller share of the greater age, so the older keeps becoming younger and the younger older, without ever arriving. The one was, is, and will be; there is knowledge, opinion, and perception of it, and it has a name and an account.

154 — πᾶσιν ἄρα τοῖς ἄλλοις τὴν αὐτὴν ἡλικίαν ἴσχει τὸ
with-all then the others the same age it-has the
ἕν· ὥστ᾽ εἰ μὴ παρὰ φύσιν πέφυκεν αὐτὸ τὸ ἕν, οὔτε
one so-that if not contrary-to nature it-is-by-nature itself the one neither
πρότερον οὔτε ὕστερον τῶν ἄλλων γεγονὸς ἂν εἴη,
earlier nor later than-the others having-come-to-be — would-be
ἀλλ᾽ ἅμα. καὶ κατὰ τοῦτον τὸν λόγον τὸ ἓν τῶν ἄλλων
but at-once and according-to this the argument the one than-the others
οὔτε πρεσβύτερον οὔτε νεώτερον ἂν εἴη, οὐδὲ τἆλλα τοῦ
neither older nor younger — would-be nor the-others than-the
ἑνός· κατὰ δὲ τὸν πρόσθεν πρεσβύτερόν τε καὶ νεώτερον,
one according-to but the former older both and younger
καὶ τἆλλα ἐκείνου ὡσαύτως. — πάνυ μὲν οὖν. — ἔστι μὲν
and the-others than-that likewise certainly indeed then it-is indeed
δὴ οὕτως ἔχον τε καὶ γεγονός. ἀλλὰ τί αὖ περὶ τοῦ
indeed so holding both and having-come-to-be but what again about the
γίγνεσθαι αὐτὸ πρεσβύτερόν τε καὶ νεώτερον τῶν ἄλλων
to-become it older both and younger than-the others
καὶ τἆλλα τοῦ ἑνός, καὶ μήτε νεώτερον μήτε πρεσβύτερον
and the-others than-the one and neither younger nor older
γίγνεσθαι; ἆρα ὥσπερ περὶ τοῦ εἶναι, οὕτω καὶ περὶ τοῦ
to-become then as about the to-be so also about the

γίγνεσθαι ἔχει, ἢ ἑτέρως; — οὐκ ἔχω λέγειν. — ἀλλ'
to-become does-it-hold or otherwise not I-can to-say but
ἐγὼ τοσόνδε γε· εἰ καὶ ἔστιν πρεσβύτερον ἕτερον ἑτέρου,
I this-much at-least if also is older one than-other
γίγνεσθαί γε αὐτὸ πρεσβύτερον ἔτι ἢ ὡς τὸ πρῶτον
to-become at-least it older still than as the first
εὐθὺς γενόμενον διήνεγκε τῇ ἡλικίᾳ οὐκ ἂν ἔτι δύναιτο,
at-once having-come-to-be it-differed in-the age not — still could
οὐδ' αὖ τὸ νεώτερον ὂν ἔτι νεώτερον γίγνεσθαι· ἀνίσοις
nor again the younger being still younger to-become to-unequals
γὰρ ἴσα προστιθέμενα, χρόνῳ τε καὶ ἄλλῳ ὁτῳοῦν,
for equals being-added to-time both and to-other anything-whatever
ἴσῳ ποιεῖ διαφέρειν ἀεὶ ὅσῳπερ ἂν τὸ πρῶτον διενέγκῃ.
equal makes to-differ always by-as-much-as — the first it-differed
— πῶς γὰρ οὔ; — οὐκ ἄρα τό γε ὂν τοῦ c
how for not not then the at-least being than-the
ὄντος γίγνοιτ' ἄν ποτε πρεσβύτερον οὐδὲ νεώτερον,
being would-become — ever older nor younger
εἴπερ ἴσῳ διαφέρει ἀεὶ τὴν ἡλικίαν· ἀλλ' ἔστι καὶ
if-indeed by-equal it-differs always the age but it-is and
γέγονε πρεσβύτερον, τὸ δὲ νεώτερον, γίγνεται δ' οὔ.
has-become older the and younger becomes but not
— ἀληθῆ. — καὶ τὸ ἓν ἄρα ὂν τῶν ἄλλων ὄντων οὔτε
true-things also the one then being than-the others being neither
πρεσβύτερόν ποτε οὔτε νεώτερον γίγνεται. — οὐ γὰρ οὖν.
older ever nor younger becomes not for indeed
— ὅρα δὲ εἰ τῇδε πρεσβύτερα καὶ νεώτερα γίγνεται.
see but whether in-this-way older and younger it-becomes
— πῇ δή; — ᾗ τό τε ἓν τῶν ἄλλων ἐφάνη
how indeed in-which the both one than-the others appeared
πρεσβύτερον καὶ τἆλλα τοῦ ἑνός. — τί οὖν; — ὅταν
older and the-others than-the one what then whenever

τὸ ἓν τῶν ἄλλων πρεσβύτερον ᾖ, πλείω που χρόνον
the one than-the others older be more surely time
γέγονεν ἢ τὰ ἄλλα. — ναί. — πάλιν δὴ σκόπει· ἐὰν
it-has-come-to-be than the others yes again indeed consider if
πλέονι καὶ ἐλάττονι χρόνῳ προστιθῶμεν τὸν ἴσον χρόνον,
to-more and to-less time we-add the equal time
ἆρα τῷ ἴσῳ μορίῳ διοίσει τὸ πλέον τοῦ ἐλάττονος ἢ
then by-the equal part will-differ the more from-the less or
σμικροτέρῳ; — σμικροτέρῳ. — οὐκ ἄρα ἔσται, ὅτιπερ τὸ
by-smaller by-smaller not then will-it-be whatever the
πρῶτον ἦν πρὸς τἆλλα ἡλικίᾳ διαφέρον τὸ ἕν, τοῦτο καὶ
first was toward the-others in-age differing the one this also
εἰς τὸ ἔπειτα, ἀλλὰ ἴσον λαμβάνον χρόνον τοῖς ἄλλοις
into the hereafter but equal receiving time with-the others
ἔλαττον ἀεὶ τῇ ἡλικίᾳ διοίσει αὐτῶν ἢ πρότερον· ἢ
less always in-the age will-it-differ from-them than before or
οὔ; — ναί. — οὐκοῦν τό γε ἔλαττον διαφέρον ἡλικίᾳ
not yes therefore the at-least less differing in-age
πρός τι ἢ πρότερον νεώτερον γίγνοιτ' ἂν ἢ ἐν τῷ
toward something than before younger would-become — than in the
πρόσθεν πρὸς ἐκεῖνα πρὸς ἃ ἦν πρεσβύτερον πρότερον;
before toward those toward which it-was older before
— νεώτερον. — εἰ δὲ ἐκεῖνο νεώτερον, οὐκ ἐκεῖνα αὖ τὰ
younger if and that younger not those again the
ἄλλα πρὸς τὸ ἓν πρεσβύτερα ἢ πρότερον; — πάνυ γε.
others toward the one older than before certainly at-least
155 — τὸ μὲν νεώτερον ἄρα γεγονὸς πρεσβύτερον γίγνεται
the indeed younger then having-come-to-be older becomes
πρὸς τὸ πρότερον γεγονός τε καὶ πρεσβύτερον ὄν,
toward the earlier having-come-to-be both and older being
ἔστι δὲ οὐδέποτε πρεσβύτερον, ἀλλὰ γίγνεται ἀεὶ ἐκείνου
is and never older but becomes always than-that

πρεσβύτερον· ἐκεῖνο μὲν γὰρ ἐπὶ τὸ νεώτερον ἐπιδίδωσιν,
older that indeed for toward the younger advances
τὸ δ' ἐπὶ τὸ πρεσβύτερον. τὸ δ' αὖ πρεσβύτερον
the and toward the older the and again older
τοῦ νεωτέρου νεώτερον γίγνεται ὡσαύτως. ἰόντε γὰρ
than-the younger younger becomes likewise going for
αὐτοῖν εἰς τὸ ἐναντίον τὸ ἐναντίον ἀλλήλοιν γίγνεσθον,
the-two into the opposite the opposite of-one-another become-the-two
τὸ μὲν νεώτερον πρεσβύτερον τοῦ πρεσβυτέρου, τὸ
the indeed younger older than-the older the
δὲ πρεσβύτερον νεώτερον τοῦ νεωτέρου· γενέσθαι δὲ
and older younger than-the younger to-have-become but
οὐκ ἂν οἷω τε εἶτην. εἰ γὰρ γένοιντο, οὐκ
not — possible-the-two — the-two-would-be if for they-should-become not
ἂν ἔτι γίγνοιντο, ἀλλ' εἶεν ἄν. νῦν δὲ γίγνονται
— any-longer they-would-become but would-be — now but they-become
μὲν πρεσβύτερα ἀλλήλων καὶ νεώτερα· τὸ μὲν ἓν
indeed older than-one-another and younger the indeed one
τῶν ἄλλων νεώτερον γίγνεται, ὅτι πρεσβύτερον ἐφάνη
than-the others younger becomes because older it-appeared
ὂν καὶ πρότερον γεγονός, τὰ δὲ ἄλλα τοῦ ἑνὸς
being and earlier having-come-to-be the and others than-the one
πρεσβύτερα, ὅτι ὕστερα γέγονε. κατὰ δὲ τὸν
older because later they-have-come-to-be according-to and the
αὐτὸν λόγον καὶ τἆλλα οὕτω πρὸς τὸ ἓν ἴσχει, ἐπειδήπερ
same argument also the-others so toward the one hold since
αὐτοῦ πρεσβύτερα ἐφάνη καὶ πρότερα γεγονότα.
than-it older they-appeared and earlier having-come-to-be
— φαίνεται γὰρ οὖν οὕτως. — οὐκοῦν ᾗ μὲν οὐδὲν c
it-appears for indeed so therefore in-which indeed no
ἕτερον ἑτέρου πρεσβύτερον γίγνεται οὐδὲ νεώτερον, κατὰ
one than-other older becomes nor younger according-to

τὸ ἴσῳ ἀριθμῷ ἀλλήλων ἀεὶ διαφέρειν, οὔτε τὸ ἓν
the by-equal number from-one-another always to-differ neither the one
τῶν ἄλλων πρεσβύτερον γίγνοιτ' ἂν οὐδὲ νεώτερον, οὔτε
than-the others older would-become — nor younger nor
τἆλλα τοῦ ἑνός· ᾗ δὲ ἄλλῳ ἀεὶ μορίῳ διαφέρειν
the-others than-the one in-which and by-other always part to-differ
ἀνάγκη τὰ πρότερα τῶν ὑστέρων γενόμενα καὶ τὰ
necessity the(-things) earlier than-the later having-come-to-be and the
ὕστερα τῶν προτέρων, ταύτῃ δὴ ἀνάγκη πρεσβύτερά
later than-the earlier in-this-way indeed necessity older
τε καὶ νεώτερα ἀλλήλων γίγνεσθαι τά τε ἄλλα τοῦ
both and younger than-one-another to-become the both others than-the
ἑνὸς καὶ τὸ ἓν τῶν ἄλλων; — πάνυ μὲν οὖν. — κατὰ
one and the one than-the others certainly indeed then according-to
δὴ πάντα ταῦτα τὸ ἓν αὐτό τε αὑτοῦ καὶ τῶν ἄλλων
indeed all these the one itself both than-itself and than-the others
πρεσβύτερον καὶ νεώτερον ἔστι τε καὶ γίγνεται, καὶ
older and younger is both and becomes and
οὔτε πρεσβύτερον οὔτε νεώτερον οὔτ' ἔστιν οὔτε γίγνεται
neither older nor younger either is or becomes
οὔτε αὑτοῦ οὔτε τῶν ἄλλων. — παντελῶς μὲν οὖν.
either than-itself or than-the others completely indeed then
— ἐπειδὴ δὲ χρόνου μετέχει τὸ ἓν καὶ τοῦ πρεσβύτερόν
since and of-time partakes the one and of-the older
τε καὶ νεώτερον γίγνεσθαι, ἆρ' οὐκ ἀνάγκη καὶ τοῦ ποτὲ
both and younger to-become so not necessity also of-the once
μετέχειν καὶ τοῦ ἔπειτα καὶ τοῦ νῦν, εἴπερ χρόνου μετέχει;
to-partake and of-the hereafter and of-the now if-indeed of-time it-partakes
e — ἀνάγκη. — ἦν ἄρα τὸ ἓν καὶ ἔστι καὶ ἔσται καὶ
necessity was then the one and is and will-be and
ἐγίγνετο καὶ γίγνεται καὶ γενήσεται. — τί μήν; — καὶ
was-becoming and becomes and will-become what indeed and

εἴη ἄν τι ἐκείνῳ καὶ ἐκείνου, καὶ ἦν καὶ ἔστιν καὶ
would-be — something to-that and of-that and was and is and
ἔσται. — πάνυ γε. — καὶ ἐπιστήμη δὴ εἴη ἂν αὐτοῦ
will-be certainly at-least and knowledge indeed would-be — of-it
καὶ δόξα καὶ αἴσθησις, εἴπερ καὶ νῦν ἡμεῖς περὶ αὐτοῦ
and opinion and perception if-indeed also now we about it
πάντα ταῦτα πράττομεν. — ὀρθῶς λέγεις. — καὶ ὄνομα
all these-things do rightly you-speak and name
δὴ καὶ λόγος ἔστιν αὐτῷ, καὶ ὀνομάζεται καὶ λέγεται· καὶ
indeed and account is for-it and it-is-named and is-said and
ὅσαπερ καὶ περὶ τὰ ἄλλα τῶν τοιούτων τυγχάνει ὄντα,
as-many-as also about the others of-the such happen being
καὶ περὶ τὸ ἓν ἔστιν. — παντελῶς μὲν οὖν ἔχει οὕτως.
also about the one is completely indeed then it-holds so

XIV · THE INSTANT

If the one is one and many, at one time it partakes of being and at another not, so it comes to be and perishes, combines and separates, becomes like and unlike, and grows, wastes, and is made equal. Passing between motion and rest, it cannot change while moving or resting, nor in any time; that strange thing in which it changes is the instant, which sits between motion and rest in no time at all. In it the one is neither moving nor resting, being nor not being, one nor many, great nor small.

ἔτι δὴ τὸ τρίτον λέγωμεν. τὸ ἓν εἰ ἔστιν οἷον διεληλύθαμεν,
still indeed the third let-us-speak the one if it-is such-as we-have-gone-through
ἆρ᾽ οὐκ ἀνάγκη αὐτό, ἕν τε ὂν καὶ πολλὰ καὶ μήτε ἓν
so not necessity it one both being and many and neither one
μήτε πολλὰ καὶ μετέχον χρόνου, ὅτι μὲν ἔστιν ἕν, οὐσίας
nor many and partaking of-time because indeed it-is one of-being

μετέχειν ποτέ, ὅτι δ' οὐκ ἔστι, μὴ μετέχειν αὖ ποτε
to-partake sometimes because and not it-is not to-partake again sometimes
οὐσίας; — ἀνάγκη. — ἆρ' οὖν, ὅτε μετέχει, οἷόν τε ἔσται
of-being necessity so then when it-partakes possible — will-it-be
τότε μὴ μετέχειν, ἢ ὅτε μὴ μετέχει, μετέχειν; — οὐχ οἷόν τε.
then not to-partake or when not it-partakes to-partake not possible —
— ἐν ἄλλῳ ἄρα χρόνῳ μετέχει καὶ ἐν ἄλλῳ οὐ μετέχει· οὕτω
in other then time it-partakes and in other not it-partakes so
γὰρ ἂν μόνως τοῦ αὐτοῦ μετέχοι τε καὶ οὐ μετέχοι.
for — only of-the same it-would-partake both and not would-partake
156 — ὀρθῶς. — οὐκοῦν ἔστι καὶ οὗτος χρόνος, ὅτε
rightly therefore there-is also this time when
μεταλαμβάνει τοῦ εἶναι καὶ ὅτε ἀπαλλάττεται αὐτοῦ; ἢ πῶς
it-takes-a-share of-the to-be and when it-is-rid-of it or how
οἷόν τε ἔσται τοτὲ μὲν ἔχειν τὸ αὐτό, τοτὲ δὲ μὴ
possible — will-it-be at-one-time indeed to-have the same at-another-time and not
ἔχειν, ἐὰν μή ποτε καὶ λαμβάνῃ αὐτὸ καὶ ἀφίῃ; — οὐδαμῶς.
to-have if not ever both it-takes it and lets-go in-no-way
— τὸ δὴ οὐσίας μεταλαμβάνειν ἆρά γε οὐ γίγνεσθαι
the indeed of-being to-take-a-share then at-least not to-become
καλεῖς; — ἔγωγε. — τὸ δὲ ἀπαλλάττεσθαι οὐσίας ἆρα
do-you-call(-it) I-at-least the and to-be-rid-of being then
οὐκ ἀπόλλυσθαι; — καὶ πάνυ γε. — τὸ ἓν δή, ὡς ἔοικε,
not to-perish and certainly at-least the one indeed as it-seems
λαμβάνον τε καὶ ἀφιὲν οὐσίαν γίγνεταί τε καὶ ἀπόλλυται.
taking both and letting-go being becomes both and perishes
— ἀνάγκη. — ἓν δὲ καὶ πολλὰ ὂν καὶ γιγνόμενον καὶ
necessity one and also many being and becoming and
ἀπολλύμενον ἆρ' οὐχ, ὅταν μὲν γίγνηται ἕν, τὸ πολλὰ εἶναι
perishing so not whenever indeed it-becomes one the many to-be
ἀπόλλυται, ὅταν δὲ πολλά, τὸ ἓν εἶναι ἀπόλλυται; — πάνυ
perishes whenever and many the one to-be perishes certainly

γε. — ἓν δὲ γιγνόμενον καὶ πολλὰ ἆρ' οὐκ ἀνάγκη
at-least one and becoming and many so not necessity
διακρίνεσθαί τε καὶ συγκρίνεσθαι; — πολλή γε. — καὶ
to-be-separated both and to-be-combined great at-least and
μὴν ἀνόμοιόν γε καὶ ὅμοιον ὅταν γίγνηται, ὁμοιοῦσθαί
indeed unlike at-least and like whenever it-becomes to-be-made-like
τε καὶ ἀνομοιοῦσθαι; — ναί. — καὶ ὅταν μεῖζον καὶ
both and to-be-made-unlike yes and whenever greater and
ἔλαττον καὶ ἴσον, αὐξάνεσθαί τε καὶ φθίνειν καὶ ἰσοῦσθαι;
less and equal to-grow both and to-waste and to-be-made-equal
— οὕτως. — ὅταν δὲ κινούμενόν τε ἵστηται καὶ c
so whenever and being-moved both it-stands and
ὅταν ἑστὸς ἐπὶ τὸ κινεῖσθαι μεταβάλλῃ, δεῖ δήπου αὐτό
whenever standing to the to-be-moved it-changes must surely it
γε μηδ' ἐν ἑνὶ χρόνῳ εἶναι. — πῶς δή; — ἑστός
at-least not-even in one time to-be how indeed standing
τε πρότερον ὕστερον κινεῖσθαι καὶ πρότερον κινούμενον
both before later to-be-moved and before being-moved
ὕστερον ἑστάναι, ἄνευ μὲν τοῦ μεταβάλλειν οὐχ οἷόν τε
later to-stand without indeed the changing not possible —
ἔσται ταῦτα πάσχειν. — πῶς γάρ; — χρόνος δέ γε
it-will-be these-things to-undergo how for time and at-least
οὐδεὶς ἔστιν, ἐν ᾧ τι οἷόν τε ἅμα μήτε κινεῖσθαι
none is in which anything possible — at-once either to-be-moved
μήτε ἑστάναι. — οὐ γὰρ οὖν. — ἀλλ' οὐδὲ μὴν
or to-stand not for indeed but not-even indeed
μεταβάλλει ἄνευ τοῦ μεταβάλλειν. — οὐκ εἰκός. — πότ'
does-it-change without the changing not likely when
οὖν μεταβάλλει; οὔτε γὰρ ἑστὸς ὂν οὔτε κινούμενον
then does-it-change neither for standing being nor being-moved
μεταβάλλει, οὔτε ἐν χρόνῳ ὄν. — οὐ γὰρ οὖν. — ἆρ'
does-it-change nor in time being not for indeed so

οὖν ἔστι τὸ ἄτοπον τοῦτο, ἐν ᾧ τότ' ἂν εἴη, ὅτε
then is the strange this in which then — it-would-be when
μεταβάλλει; — τὸ ποῖον δή; — τὸ ἐξαίφνης. τὸ γὰρ
it-changes the what-sort indeed the instant the for
ἐξαίφνης τοιόνδε τι ἔοικε σημαίνειν, ὡς ἐξ ἐκείνου
instant such something seems to-signify as from that
μεταβάλλον εἰς ἑκάτερον. οὐ γὰρ ἔκ γε τοῦ ἑστάναι
changing into each not for from at-least the to-stand
ἑστῶτος ἔτι μεταβάλλει, οὐδ' ἐκ τῆς κινήσεως κινουμένης
standing still it-changes nor from the motion moving
ἔτι μεταβάλλει· ἀλλὰ ἡ ἐξαίφνης αὕτη φύσις ἄτοπός τις
still it-changes but the instant this nature strange some
ἐγκάθηται μεταξὺ τῆς κινήσεώς τε καὶ στάσεως, ἐν χρόνῳ
sits-within between the motion both and rest in time
οὐδενὶ οὖσα, καὶ εἰς ταύτην δὴ καὶ ἐκ ταύτης τό τε
no being and into this indeed and from this the both
κινούμενον μεταβάλλει ἐπὶ τὸ ἑστάναι καὶ τὸ ἑστὸς ἐπὶ τὸ
being-moved changes to the to-stand and the standing to the
κινεῖσθαι. — κινδυνεύει. — καὶ τὸ ἓν δή, εἴπερ ἕστηκέ
to-be-moved it-is-likely also the one indeed if-indeed it-stands
τε καὶ κινεῖται, μεταβάλλοι ἂν ἐφ' ἑκάτερα — μόνως γὰρ
both and is-moved it-would-change — to each-direction only for
ἂν οὕτως ἀμφότερα ποιοῖ — μεταβάλλον δ' ἐξαίφνης
— so both it-would-do changing and instantly
μεταβάλλει, καὶ ὅτε μεταβάλλει, ἐν οὐδενὶ χρόνῳ ἂν εἴη,
it-changes and when it-changes in no time — it-would-be
οὐδὲ κινοῖτ' ἂν τότε, οὐδ' ἂν σταίη. — οὐ γάρ.
nor would-it-be-moved — then nor — would-it-stand not for
157 — ἆρ' οὖν οὕτω καὶ πρὸς τὰς ἄλλας μεταβολὰς ἔχει,
so then so also toward the other changes does-it-hold
ὅταν ἐκ τοῦ εἶναι εἰς τὸ ἀπόλλυσθαι μεταβάλλῃ ἢ ἐκ
whenever from the to-be into the to-perish it-changes or from

τοῦ μὴ εἶναι εἰς τὸ γίγνεσθαι, μεταξύ τινων τότε γίγνεται
the not to-be into the to-become between some then it-comes-to-be
κινήσεών τε καὶ στάσεων, καὶ οὔτε ἔστι τότε οὔτε οὐκ ἔστι,
motions both and rests and neither is-it then nor not is-it
οὔτε γίγνεται οὔτε ἀπόλλυται; — ἔοικε γοῦν. — κατὰ
nor becomes nor perishes it-seems at-any-rate according-to
δὴ τὸν αὐτὸν λόγον καὶ ἐξ ἑνὸς ἐπὶ πολλὰ ἰὸν καὶ ἐκ
indeed the same argument also from one to many going and from
πολλῶν ἐφ' ἓν οὔτε ἕν ἐστιν οὔτε πολλά, οὔτε διακρίνεται
many to one neither one it-is nor many nor is-it-separated
οὔτε συγκρίνεται. καὶ ἐξ ὁμοίου ἐπὶ ἀνόμοιον καὶ ἐξ
nor is-it-combined and from like to unlike and from
ἀνομοίου ἐπὶ ὅμοιον ἰὸν οὔτε ὅμοιον οὔτε ἀνόμοιον, οὔτε
unlike to like going neither like nor unlike nor
ὁμοιούμενον οὔτε ἀνομοιούμενον· καὶ ἐκ σμικροῦ ἐπὶ μέγα
being-made-like nor being-made-unlike and from small to great
καὶ ἐπὶ ἴσον καὶ εἰς τὰ ἐναντία ἰὸν οὔτε σμικρὸν οὔτε μέγα
and to equal and into the opposites going neither small nor great
οὔτε ἴσον, οὔτε αὐξανόμενον οὔτε φθῖνον οὔτε ἰσούμενον
nor equal nor growing nor wasting nor being-made-equal
εἴη ἄν. — οὐκ ἔοικε. — ταῦτα δὴ τὰ παθήματα
would-it-be — not it-seems these indeed the experiences
πάντ' ἂν πάσχοι τὸ ἕν, εἰ ἔστιν. — πῶς δ' οὔ;
all — would-undergo the one if it-is how and not

XV · THE OTHERS IF ONE IS

The others are not the one, yet they partake of it as parts of a whole. A part is part of one whole, and each part is itself one, so the others share in the one in whole and part. In themselves they are unlimited in multitude; sharing in the one gives them limit toward each other and the whole. So they are like and unlike, the same and other, moving and resting.

c τί δὲ τοῖς ἄλλοις προσήκοι ἂν πάσχειν, ἓν εἰ ἔστιν, ἆρα οὐ
what and for-the others would-befit — to-undergo one if is then not
σκεπτέον; — σκεπτέον. — λέγωμεν δή, ἓν εἰ ἔστι,
must-it-be-examined it-must-be-examined let-us-say indeed one if is
τἆλλα τοῦ ἑνὸς τί χρὴ πεπονθέναι; — λέγωμεν. — οὐκοῦν
the-others than-the one what must to-have-undergone let-us-say therefore
ἐπείπερ ἄλλα τοῦ ἑνός ἐστιν, οὔτε τὸ ἕν ἐστι τἆλλα· οὐ
since others than-the one they-are neither the one are the-others not
γὰρ ἂν ἄλλα τοῦ ἑνὸς ἦν. — ὀρθῶς. — οὐδὲ μὴν
for — others than-the one they-would-be rightly nor indeed
στέρεταί γε παντάπασι τοῦ ἑνὸς τἆλλα, ἀλλὰ μετέχει
are-they-deprived at-least altogether of-the one the-others but they-partake
πῃ. — πῇ δή; — ὅτι που τὰ ἄλλα τοῦ ἑνὸς μόρια
somehow how indeed because surely the others than-the one parts
ἔχοντα ἄλλα ἐστίν· εἰ γὰρ μόρια μὴ ἔχοι, παντελῶς ἂν ἓν
having others are if for parts not they-had wholly — one
εἴη. — ὀρθῶς. — μόρια δέ γε, φαμέν, τούτου ἐστὶν
they-would-be rightly parts and at-least we-say of-this are
ὃ ἂν ὅλον ᾖ. — φαμὲν γάρ. — ἀλλὰ μὴν τό γε ὅλον
which — whole be we-say for but indeed the at-least whole
ἓν ἐκ πολλῶν ἀνάγκη εἶναι, οὗ ἔσται μόρια τὰ μόρια·
one from many necessity to-be of-which will-be parts the parts
ἕκαστον γὰρ τῶν μορίων οὐ πολλῶν μόριον χρὴ εἶναι, ἀλλὰ
each for of-the parts not of-many part must to-be but

ὅλου. — πῶς τοῦτο; — εἴ τι πολλῶν μόριον εἴη, ἐν οἷς
of-whole how this if anything of-many part were in which
αὐτὸ εἴη, ἑαυτοῦ τε δήπου μόριον ἔσται, ὅ ἐστιν ἀδύνατον,
itself were of-itself both surely part it-will-be which is impossible
καὶ τῶν ἄλλων δὴ ἑνὸς ἑκάστου, εἴπερ καὶ πάντων.
and of-the others indeed of-one each if-indeed also of-all
ἑνὸς γὰρ μὴ ὂν μόριον, πλὴν τούτου τῶν ἄλλων ἔσται, e
of-one for not being part except this of-the others it-will-be
καὶ οὕτως ἑνὸς ἑκάστου οὐκ ἔσται μόριον, μὴ ὂν δὲ
and so of-one each not it-will-be part not being and
μόριον ἑκάστου οὐδενὸς τῶν πολλῶν ἔσται. μηδενὸς δὲ
part of-each of-any of-the many it-will-be of-none and
ὂν πάντων τούτων τι εἶναι, ὧν οὐδενὸς οὐδέν ἐστι,
being of-all these anything to-be of-which of-none anything is
καὶ μόριον καὶ ἄλλο ὁτιοῦν ἀδύνατον. — φαίνεταί
and part and other anything-whatever impossible it-appears
γε δή. — οὐκ ἄρα τῶν πολλῶν οὐδὲ πάντων τὸ
at-least indeed not then of-the many nor of-all the
μόριον μόριον, ἀλλὰ μιᾶς τινὸς ἰδέας καὶ ἑνός τινος
part part but of-one certain form and of-one certain
ὃ καλοῦμεν ὅλον, ἐξ ἁπάντων ἓν τέλειον γεγονός,
which we-call whole from all one complete having-become
τούτου μόριον ἂν τὸ μόριον εἴη. — παντάπασι μὲν
of-this part — the part would-be altogether indeed
οὖν. — εἰ ἄρα τἆλλα μόρια ἔχει, κἂν τοῦ ὅλου τε καὶ
then if then the-others parts have also of-the whole both and
ἑνὸς μετέχοι. — πάνυ γε. — ἓν ἄρα ὅλον τέλειον
of-one they-would-partake certainly at-least one then whole complete
μόρια ἔχον ἀνάγκη εἶναι τἆλλα τοῦ ἑνός. — ἀνάγκη.
parts having necessity to-be the-others than-the one necessity

158 — καὶ μὴν καὶ περὶ τοῦ μορίου γε ἑκάστου ὁ αὐτὸς
and indeed also about the part at-least each the same
λόγος· καὶ γὰρ τοῦτο ἀνάγκη μετέχειν τοῦ ἑνός. εἰ γὰρ
argument and for this necessity to-partake of-the one if for
ἕκαστον αὐτῶν μόριόν ἐστι, τό γε ἕκαστον εἶναι ἓν
each of-them part is the at-least each to-be one
δήπου σημαίνει, ἀφωρισμένον μὲν τῶν ἄλλων, καθ' αὑτὸ
surely signifies marked-off indeed from-the others by itself
δὲ ὄν, εἴπερ ἕκαστον ἔσται. — ὀρθῶς. — μετέχοι δέ
and being if-indeed each it-will-be rightly would-partake and
γε ἂν τοῦ ἑνὸς δῆλον ὅτι ἄλλο ὂν ἢ ἕν· οὐ γὰρ ἂν
at-least — of-the one clearly that other being than one not for —
μετεῖχεν, ἀλλ' ἦν ἂν αὐτὸ ἕν. νῦν δὲ ἑνὶ μὲν εἶναι
it-would-partake but it-would-be — itself one now but for-one indeed to-be
πλὴν αὐτῷ τῷ ἑνὶ ἀδύνατόν που. — ἀδύνατον. — μετέχειν
except itself the one impossible surely impossible to-partake
δέ γε τοῦ ἑνὸς ἀνάγκη τῷ τε ὅλῳ καὶ τῷ μορίῳ.
and at-least of-the one necessity for-the both whole and for-the part
τὸ μὲν γὰρ ἓν ὅλον ἔσται, οὗ μόρια τὰ μόρια· τὸ δ'
the indeed for one whole will-be of-which parts the parts the and
αὖ ἕκαστον ἓν μόριον τοῦ ὅλου, ὃ ἂν ᾖ μόριον ὅλου.
again each one part of-the whole which — be part of-whole
— οὕτως. — οὐκοῦν ἕτερα ὄντα τοῦ ἑνὸς μεθέξει τὰ
so therefore other being than-the one will-partake the(-things)
μετέχοντα αὐτοῦ; — πῶς δ' οὔ; — τὰ δ' ἕτερα τοῦ
partaking of-it how and not the(-things) and other than-the
ἑνὸς πολλά που ἂν εἴη· εἰ γὰρ μήτε ἓν μήτε ἑνὸς πλείω
one many surely — would-be if for neither one nor than-one more
εἴη τἆλλα τοῦ ἑνός, οὐδὲν ἂν εἴη. — οὐ γὰρ οὖν.
were the-others than-the one nothing — they-would-be not for indeed

ἐπεὶ δέ γε πλείω ἑνός ἐστι τά τε τοῦ ἑνὸς c
since and at-least more than-one are the(-things) both of-the one
μορίου καὶ τὰ τοῦ ἑνὸς ὅλου μετέχοντα, οὐκ ἀνάγκη
part and the(-things) of-the one whole partaking not necessity
ἤδη πλήθει ἄπειρα εἶναι αὐτά γε ἐκεῖνα τὰ
already in-multitude unlimited to-be themselves at-least those the(-things)
μεταλαμβάνοντα τοῦ ἑνός; — πῶς; — ὧδε ἴδωμεν. ἄλλο
taking-a-share of-the one how thus let-us-see other
τι οὐχ ἓν ὄντα οὐδὲ μετέχοντα τοῦ ἑνὸς τότε, ὅτε
something not one being nor partaking of-the one then when
μεταλαμβάνει αὐτοῦ, μεταλαμβάνει; — δῆλα δή. — οὐκοῦν
they-take-a-share of-it they-take-a-share clear indeed therefore
πλήθη ὄντα, ἐν οἷς τὸ ἓν οὐκ ἔνι; — πλήθη μέντοι. — τί
multitudes being in which the one not is-in multitudes however what
οὖν; εἰ ἐθέλοιμεν τῇ διανοίᾳ τῶν τοιούτων ἀφελεῖν ὡς οἷοί
then if we-should-wish by-the thought of-the such to-take-away as able
τέ ἐσμεν ὅτι ὀλίγιστον, οὐκ ἀνάγκη καὶ τὸ ἀφαιρεθὲν
— we-are as least not necessity also the(-thing) taken-away
ἐκεῖνο, εἴπερ τοῦ ἑνὸς μὴ μετέχοι, πλῆθος εἶναι καὶ οὐχ
that if-indeed of-the one not it-should-partake multitude to-be and not
ἕν; — ἀνάγκη. — οὐκοῦν οὕτως ἀεὶ σκοποῦντες αὐτὴν
one necessity therefore so always examining itself
καθ' αὑτὴν τὴν ἑτέραν φύσιν τοῦ εἴδους ὅσον ἂν αὐτῆς
by itself the other nature of-the form as-much-as — of-it
ἀεὶ ὁρῶμεν ἄπειρον ἔσται πλήθει; — παντάπασι μὲν
always we-see unlimited will-be in-multitude altogether indeed
οὖν. — καὶ μὴν ἐπειδάν γε ἓν ἕκαστον μόριον μόριον
then and indeed when at-least one each part part
γένηται, πέρας ἤδη ἔχει πρὸς ἄλληλα καὶ πρὸς τὸ ὅλον,
becomes limit already it-has toward one-another and toward the whole
καὶ τὸ ὅλον πρὸς τὰ μόρια. — κομιδῇ μὲν οὖν. — τοῖς
and the whole toward the parts absolutely indeed then for-the

ἄλλοις δὴ τοῦ ἑνὸς συμβαίνει ἐκ μὲν τοῦ ἑνὸς καὶ ἐξ
others indeed than-the one it-results from indeed the one and from
ἑαυτῶν κοινωνησάντων, ὡς ἔοικεν, ἕτερόν τι γίγνεσθαι
themselves having-communed as it-seems other something to-come-about
ἐν ἑαυτοῖς, ὃ δὴ πέρας παρέσχε πρὸς ἄλληλα· ἡ δ'
in themselves which indeed limit furnished toward one-another the and
ἑαυτῶν φύσις καθ' ἑαυτὰ ἀπειρίαν. — φαίνεται. — οὕτω
their-own nature by themselves unlimitedness it-appears so
δὴ τὰ ἄλλα τοῦ ἑνὸς καὶ ὅλα καὶ κατὰ μόρια ἄπειρά
indeed the others than-the one both wholes and by parts unlimited
τέ ἐστι καὶ πέρατος μετέχει. — πάνυ γε.
both are and of-limit partake certainly at-least
e οὐκοῦν καὶ ὅμοιά τε καὶ ἀνόμοια ἀλλήλοις τε καὶ
therefore also like both and unlike to-one-another both and
ἑαυτοῖς; — πῇ δή; — ᾗ μέν που ἄπειρά ἐστι
to-themselves how indeed in-which indeed surely unlimited they-are
κατὰ τὴν ἑαυτῶν φύσιν πάντα, ταὐτὸν πεπονθότα ἂν
according-to the their-own nature all the-same having-undergone —
εἴη ταύτῃ. — πάνυ γε. — καὶ μὴν ᾗ γε
they-would-be in-this-way certainly at-least and indeed in-which at-least
ἅπαντα πέρατος μετέχει, καὶ ταύτῃ πάντ' ἂν εἴη
all of-limit partake also in-this-way all — would-be
ταὐτὸν πεπονθότα. — πῶς δ' οὔ;
the-same having-undergone how and not
159 — ᾗ δέ γε πεπερασμένα τε εἶναι καὶ ἄπειρα
in-which and at-least limited both to-be and unlimited
πέπονθεν, ἐναντία πάθη ἀλλήλοις ὄντα ταῦτα τὰ
they-have-undergone opposite experiences to-one-another being these the
πάθη πέπονθεν. — ναί. — τὰ δ' ἐναντία γε
experiences they-have-undergone yes the(-things) and opposite at-least
ὡς οἷόν τε ἀνομοιότατα. — τί μήν; — κατὰ μὲν ἄρα
as possible — most-unlike what indeed according-to indeed then

ἑκάτερον τὸ πάθος ὅμοια ἂν εἴη αὐτά τε αὑτοῖς
each the experience like — they-would-be themselves both to-themselves
καὶ ἀλλήλοις, κατὰ δ' ἀμφότερα ἀμφοτέρως ἐναντιώτατά
and to-one-another according-to and both in-both-ways most-opposite
τε καὶ ἀνομοιότατα. — κινδυνεύει. — οὕτω δὴ τὰ ἄλλα
both and most-unlike it-is-likely so indeed the others
αὐτά τε αὑτοῖς καὶ ἀλλήλοις ὅμοιά τε καὶ ἀνόμοια ἂν
themselves both to-themselves and to-one-another like both and unlike —
εἴη. — οὕτως. — καὶ ταὐτὰ δὴ καὶ ἕτερα ἀλλήλων,
would-be so and the-same indeed and other than-one-another
καὶ κινούμενα καὶ ἑστῶτα, καὶ πάντα τὰ ἐναντία πάθη
and being-moved and standing and all the opposite experiences
οὐκέτι χαλεπῶς εὑρήσομεν πεπονθότα τἆλλα τοῦ ἑνός,
no-longer with-difficulty shall-we-find having-undergone the-others than-the one
ἐπείπερ καὶ ταῦτα ἐφάνη πεπονθότα. — ὀρθῶς λέγεις.
since also these-things appeared having-undergone rightly you-speak

XVI · THE OTHERS APART FROM THE ONE

Starting again: the one and the others are apart, with nothing else in which both could be. The truly one has no parts, so the others cannot share in it in any way. They are not one, many, two, or three; they are neither like nor unlike, the same nor other, moving nor still, coming to be nor perishing, greater, less, nor equal. So if one is, the one is all things and not even one, toward itself and the others.

οὐκοῦν, εἰ ταῦτα μὲν ἤδη ἐῷμεν ὡς φανερά, c
therefore if these-things indeed already we-should-let-go as plain
ἐπισκοποῖμεν δὲ πάλιν ἓν εἰ ἔστιν, ἆρα καὶ οὐχ οὕτως
we-should-examine and again one if is then also not so
ἔχει τὰ ἄλλα τοῦ ἑνὸς ἢ οὕτω μόνον; — πάνυ μὲν
hold the others than-the one or so only certainly indeed

οὖν. — λέγωμεν δὴ ἐξ ἀρχῆς ἓν εἰ ἔστι, τί χρὴ τὰ
then let-us-say indeed from beginning one if is what must the
ἄλλα τοῦ ἑνὸς πεπονθέναι. — λέγωμεν γάρ. — ἆρ᾽
others than-the one to-have-undergone let-us-say for so
οὖν οὐ χωρὶς μὲν τὸ ἓν τῶν ἄλλων, χωρὶς δὲ τἆλλα
then not apart indeed the one from-the others apart and the-others
τοῦ ἑνὸς εἶναι; — τί δή; — ὅτι που οὐκ ἔστι
from-the one to-be why indeed because surely not there-is
παρὰ ταῦτα ἕτερον, ὃ ἄλλο μέν ἐστι τοῦ ἑνός, ἄλλο
besides these other which other indeed is than-the one other
δὲ τῶν ἄλλων· πάντα γὰρ εἴρηται, ὅταν ῥηθῇ τό τε
and than-the others all for has-been-said whenever is-said the both
ἓν καὶ τἆλλα. — πάντα γάρ. — οὐκ ἄρα ἔτ᾽ ἔστιν
one and the-others all for not then any-longer there-is
ἕτερον τούτων, ἐν ᾧ τό τε ἓν ἂν εἴη τῷ αὐτῷ
other than-these in which the both one — would-be in-the same
καὶ τἆλλα. — οὐ γάρ. — οὐδέποτε ἄρα ἐν ταὐτῷ ἐστι
and the-others not for never then in the-same is
τὸ ἓν καὶ τἆλλα. — οὐκ ἔοικεν. — χωρὶς ἄρα; — ναί.
the one and the-others not it-seems apart then yes
— οὐδὲ μὴν μόριά γε ἔχειν φαμὲν τὸ ὡς ἀληθῶς ἕν.
nor indeed parts at-least to-have we-say the as truly one
d — πῶς γάρ; — οὔτ᾽ ἄρα ὅλον εἴη ἂν τὸ ἓν ἐν τοῖς
how for neither then whole would-be — the one in the
ἄλλοις οὔτε μόρια αὐτοῦ, εἰ χωρίς τέ ἐστι τῶν ἄλλων
others nor parts of-it if apart both it-is from-the others
καὶ μόρια μὴ ἔχει. — πῶς γάρ; — οὐδενὶ ἄρα τρόπῳ
and parts not it-has how for in-no then way
μετέχοι ἂν τἆλλα τοῦ ἑνός, μήτε κατὰ μόριόν τι αὐτοῦ
would-partake — the-others of-the one either according-to part any of-it
μήτε κατὰ ὅλον μετέχοντα. — οὐκ ἔοικεν. — οὐδαμῇ
or according-to whole partaking not it-seems in-no-way

ἄρα ἓν τἆλλά ἐστιν, οὐδ' ἔχει ἐν ἑαυτοῖς ἓν οὐδέν. — οὐ
then one the-others are nor have in themselves one any not
γὰρ οὖν. — οὐδ' ἄρα πολλά ἐστι τἆλλα· ἓν γὰρ ἂν ἦν
for indeed nor then many are the-others one for — would-be
ἕκαστον αὐτῶν μόριον τοῦ ὅλου, εἰ πολλὰ ἦν· νῦν δὲ
each of-them part of-the whole if many they-were now but
οὔτε ἓν οὔτε πολλὰ οὔτε ὅλον οὔτε μόριά ἐστι τἆλλα τοῦ
neither one nor many nor whole nor parts are the-others than-the
ἑνός, ἐπειδὴ αὐτοῦ οὐδαμῇ μετέχει. — ὀρθῶς. — οὐδ'
one since of-it in-no-way they-partake rightly nor
ἄρα δύο οὐδὲ τρία οὔτε αὐτά ἐστι τὰ ἄλλα οὔτε ἔνεστιν
then two nor three neither themselves are the others nor is-in
ἐν αὐτοῖς, εἴπερ τοῦ ἑνὸς πανταχῇ στέρεται. — οὕτως.
in them if-indeed of-the one everywhere they-are-deprived so
οὐδὲ ὅμοια ἄρα καὶ ἀνόμοια οὔτε αὐτά ἐστι τῷ ἑνὶ τὰ
nor like then and unlike either themselves are to-the one the
ἄλλα, οὔτε ἔνεστιν ἐν αὐτοῖς ὁμοιότης καὶ ἀνομοιότης·
others or is-in in them likeness and unlikeness
εἰ γὰρ ὅμοια καὶ ἀνόμοια αὐτὰ εἴη ἢ ἔχοι ἐν
if for like and unlike they were or should-have in
ἑαυτοῖς ὁμοιότητα καὶ ἀνομοιότητα, δύο που εἴδη ἐναντία
themselves likeness and unlikeness two surely forms opposite
ἀλλήλοις ἔχοι ἂν ἐν ἑαυτοῖς τὰ ἄλλα τοῦ ἑνός.
to-one-another would-have — in themselves the others than-the one
— φαίνεται. — ἦν δέ γε ἀδύνατον δυοῖν τινοῖν
it-appears it-was and at-least impossible of-two some
μετέχειν ἃ μηδ' ἑνὸς μετέχοι. — ἀδύνατον.
to-partake which not-even of-one should-partake impossible
— οὔτ' ἄρα ὅμοια οὔτ' ἀνόμοιά ἐστιν οὔτ' ἀμφότερα 160
neither then like nor unlike are nor both
τἆλλα. ὅμοια μὲν γὰρ ἂν ὄντα ἢ ἀνόμοια ἑνὸς ἂν τοῦ
the-others like indeed for — being or unlike of-one — of-the

ἑτέρου εἴδους μετέχοι, ἀμφότερα δὲ ὄντα δυοῖν τοῖν
other form they-would-partake both and being of-two the
ἐναντίοιν· ταῦτα δὲ ἀδύνατον ἐφάνη. — ἀληθῆ.
opposites these-things and impossible appeared true-things
b οὐδ' ἄρα τὰ αὐτὰ οὐδ' ἕτερα, οὐδὲ κινούμενα οὐδὲ ἑστῶτα,
nor then the same nor other nor being-moved nor standing
οὐδὲ γιγνόμενα οὐδὲ ἀπολλύμενα, οὐδὲ μείζω οὐδὲ ἐλάττω
nor becoming nor perishing nor greater nor less
οὐδὲ ἴσα· οὐδὲ ἄλλο οὐδὲν πέπονθε τῶν τοιούτων· εἰ
nor equal nor other anything have-they-undergone of-the such if
γάρ τι τοιοῦτον πεπονθέναι ὑπομένει τὰ ἄλλα, καὶ ἑνὸς
for anything such to-have-undergone they-submit the others both of-one
καὶ δυοῖν καὶ τριῶν καὶ περιττοῦ καὶ ἀρτίου μεθέξει,
and of-two and of-three and of-odd and of-even they-will-partake
ὧν αὐτοῖς ἀδύνατον ἐφάνη μετέχειν τοῦ ἑνός γε
of-which for-them impossible appeared to-partake of-the one at-least
πάντῃ πάντως στερομένοις. — ἀληθέστατα. — οὕτω δὴ
in-every-way wholly being-deprived most-truly so indeed
ἓν εἰ ἔστιν, πάντα τέ ἐστι τὸ ἓν καὶ οὐδὲ ἕν ἐστι καὶ πρὸς
one if is all both is the one and not-even one is both toward
ἑαυτὸ καὶ πρὸς τὰ ἄλλα ὡσαύτως. — παντελῶς μὲν οὖν.
itself and toward the others likewise completely indeed then

To say that one is not is to say something knowable and different from the others, so there is knowledge of the one that is not, and it partakes of difference and of "that," "some," and "this." It is unlike the others and like itself; unequal to them, it partakes of inequality, and so of greatness, smallness, and the equality between them. It must also partake of being, bound to being a not-being. So it changes: it both moves and stands, alters and does not, and comes to be and perishes and does not.

εἶεν· εἰ δὲ δὴ μὴ ἔστι τὸ ἕν, τί χρὴ συμβαίνειν ἆρ' οὐ c
well if and indeed not is the one what must to-result so not
σκεπτέον μετὰ τοῦτο; — σκεπτέον γάρ. — τίς
must-it-be-examined after this it-must-be-examined for which
οὖν ἂν εἴη αὕτη ἡ ὑπόθεσις, εἰ ἓν μὴ ἔστιν; ἆρά τι
then — would-be this the hypothesis if one not is then anything
διαφέρει τῆσδε, εἰ μὴ ἓν μὴ ἔστιν; — διαφέρει μέντοι.
does-it-differ from-this if not one not is it-differs however
— διαφέρει μόνον, ἢ καὶ πᾶν τοὐναντίον ἐστὶν εἰπεῖν εἰ
does-it-differ only or also wholly the-opposite is to-say if
μὴ ἓν μὴ ἔστι τοῦ εἰ ἓν μὴ ἔστιν; — πᾶν τοὐναντίον.
not one not is from-the if one not is wholly the-opposite
— τί δ' εἴ τις λέγοι εἰ μέγεθος μὴ ἔστιν ἢ σμικρότης
what and if one should-say if greatness not is or smallness
μὴ ἔστιν ἤ τι ἄλλο τῶν τοιούτων, ἆρα ἐφ' ἑκάστου ἂν
not is or anything other of-the such then in each —
δηλοῖ ὅτι ἕτερόν τι λέγοι τὸ μὴ ὄν; — πάνυ γε.
would-be-show that other something he-means the not being certainly at-least
— οὐκοῦν καὶ νῦν δηλοῖ ὅτι ἕτερον λέγει τῶν ἄλλων
therefore also now he-shows that other he-means than-the others
τὸ μὴ ὄν, ὅταν εἴπῃ ἓν εἰ μὴ ἔστι, καὶ ἴσμεν ὃ λέγει;
the not being whenever he-says one if not is and we-know what he-means
— ἴσμεν. — πρῶτον μὲν ἄρα γνωστόν τι λέγει, ἔπειτα
we-know first indeed then knowable something he-means then

ἕτερον τῶν ἄλλων, ὅταν εἴπῃ ἕν, εἴτε τὸ εἶναι αὐτῷ
other than-the others whenever he-says one whether the to-be to-it
προσθεὶς εἴτε τὸ μὴ εἶναι· οὐδὲν γὰρ ἧττον γιγνώσκεται,
adding or the not to-be no for less is-known
τί τὸ λεγόμενον μὴ εἶναι, καὶ ὅτι διάφορον τῶν ἄλλων.
what the thing-said not to-be and that different from-the others
e ἢ οὔ; — ἀνάγκη. — ὧδε ἄρα λεκτέον ἐξ ἀρχῆς,
or not necessity thus then one-must-speak from beginning
ἓν εἰ μὴ ἔστι, τί χρὴ εἶναι. πρῶτον μὲν οὖν αὐτῷ
one if not is what must to-be first indeed then to-it
τοῦτο ὑπάρχειν δεῖ, ὡς ἔοικεν, εἶναι αὐτοῦ ἐπιστήμην,
this to-belong must as it-seems to-be of-it knowledge
ἢ μηδὲ ὅτι λέγεται γιγνώσκεσθαι, ὅταν τις εἴπῃ ἓν
or not-even what is-said to-be-known whenever one says one
εἰ μὴ ἔστιν. — ἀληθῆ. — οὐκοῦν καὶ τὰ ἄλλα ἕτερα
if not is true-things therefore also the others other
αὐτοῦ εἶναι, ἢ μηδὲ ἐκεῖνο ἕτερον τῶν ἄλλων λέγεσθαι;
than-it to-be or not-even that other than-the others to-be-said
— πάνυ γε. — καὶ ἑτεροιότης ἄρα ἐστὶν αὐτῷ πρὸς
certainly at-least and otherness then is to-it besides
τῇ ἐπιστήμῃ. οὐ γὰρ τὴν τῶν ἄλλων ἑτεροιότητα λέγει,
the knowledge not for the of-the others otherness be-means
ὅταν τὸ ἓν ἕτερον τῶν ἄλλων λέγῃ, ἀλλὰ τὴν
whenever the one other than-the others he-says but the(-otherness)
ἐκείνου. — φαίνεται. — καὶ μὴν τοῦ γε ἐκείνου καὶ
of-that it-appears and indeed of-the at-least that and
τοῦ τινὸς καὶ τούτου καὶ τούτῳ καὶ τούτων καὶ πάντων
of-the some and of-this and to-this and of-these and of-all
τῶν τοιούτων μετέχει τὸ μὴ ὂν ἕν· οὐ γὰρ ἂν τὸ ἓν
the such partakes the not being one not for — the one
ἐλέγετο οὐδ' ἂν τοῦ ἑνὸς ἕτερα, οὐδ' ἐκείνῳ ἄν τι
would-be-said nor — than-the one other(-things) nor to-that — anything

ἦν οὐδ' ἐκείνου, οὐδ' ἄν τι ἐλέγετο, εἰ μήτε τοῦ
would-be nor of-that nor — anything would-be-said if neither of-the
τινὸς αὐτῷ μετῆν μήτε τῶν ἄλλων τούτων. — ὀρθῶς.
some to-it belonged nor of-the others these rightly
— εἶναι μὲν δὴ τῷ ἑνὶ οὐχ οἷόν τε, εἴπερ γε μὴ 161
to-be indeed indeed for-the one not possible — if-indeed at-least not
ἔστι, μετέχειν δὲ πολλῶν οὐδὲν κωλύει, ἀλλὰ καὶ ἀνάγκη,
it-is to-partake but of-many nothing prevents but even necessity
εἴπερ τό γε ἓν ἐκεῖνο καὶ μὴ ἄλλο μὴ ἔστιν. εἰ μέντοι
if-indeed the at-least one that and not other not is if however
μήτε τὸ ἓν μήτ' ἐκεῖνο μὴ ἔσται, ἀλλὰ περὶ ἄλλου του ὁ
neither the one nor that not will-be but about other some the
λόγος, οὐδὲ φθέγγεσθαι δεῖ οὐδέν· εἰ δὲ τὸ ἓν ἐκεῖνο
argument not-even to-utter must-one anything if but the one that
καὶ μὴ ἄλλο ὑπόκειται μὴ εἶναι, καὶ τοῦ ἐκείνου καὶ
and not other is-supposed not to-be also of-the that and
ἄλλων πολλῶν ἀνάγκη αὐτῷ μετεῖναι. — καὶ πάνυ γε.
of-others many necessity to-it to-belong and certainly at-least
καὶ ἀνομοιότης ἄρα ἐστὶν αὐτῷ πρὸς τὰ ἄλλα· τὰ γὰρ b
and unlikeness then is to-it in-relation-to the others the for
ἄλλα τοῦ ἑνὸς ἕτερα ὄντα ἑτεροῖα καὶ εἴη ἄν. — ναί.
others than-the one other being of-another-kind also would-be — yes
— τὰ δ' ἑτεροῖα οὐκ ἀλλοῖα; — πῶς δ' οὔ;
the(-things) and of-another-kind not of-other-sorts how and not
— τὰ δ' ἀλλοῖα οὐκ ἀνόμοια; — ἀνόμοια μὲν οὖν.
the(-things) and of-other-sorts not unlike unlike indeed then
— οὐκοῦν εἴπερ τῷ ἑνὶ ἀνόμοιά ἐστι, δῆλον ὅτι ἀνομοίῳ
therefore if-indeed to-the one unlike they-are clear that to-unlike
τά γε ἀνόμοια ἀνόμοια ἂν εἴη. — δῆλον. — εἴη
the at-least unlike unlike — would-be clear would-be
δὴ ἂν καὶ τῷ ἑνὶ ἀνομοιότης, πρὸς ἣν τὰ ἄλλα
indeed — also to-the one unlikeness in-relation-to which the others

ἀνόμοια αὐτῷ ἐστιν. — ἔοικεν. — εἰ δὲ δὴ τῶν ἄλλων
unlike to-it are it-seems if and indeed of-the others
ἀνομοιότης ἔστιν αὐτῷ, ἆρ' οὐκ ἀνάγκη ἑαυτοῦ ὁμοιότητα
unlikeness is to-it so not necessity of-itself likeness
αὐτῷ εἶναι; — πῶς; — εἰ ἑνὸς ἀνομοιότης ἔστι τῷ ἑνί,
to-it to-be how if of-one unlikeness is to-the one
οὐκ ἄν που περὶ τοῦ τοιούτου ὁ λόγος εἴη οἵου τοῦ
not — surely about the such the argument would-be such-as the
ἑνός, οὐδ' ἂν ἡ ὑπόθεσις εἴη περὶ ἑνός, ἀλλὰ περὶ ἄλλου
one nor — the hypothesis would-be about one but about other
ἢ ἑνός. — πάνυ γε. — οὐ δεῖ δέ γε. — οὐ δῆτα.
than one certainly at-least not must and at-least not indeed
— δεῖ ἄρα ὁμοιότητα τῷ ἑνὶ αὐτοῦ ἑαυτῷ εἶναι. — δεῖ.
must then likeness to-the one of-itself to-itself to-be it-must
d καὶ μὴν οὐδ' αὖ ἴσον γ' ἐστὶ τοῖς ἄλλοις· εἰ γὰρ εἴη
and indeed nor again equal at-least it-is to-the others if for it-were
ἴσον, εἴη τε ἂν ἤδη καὶ ὅμοιον ἂν εἴη αὐτοῖς
equal it-would-be both — already and like — it-would-be to-them
κατὰ τὴν ἰσότητα. ταῦτα δ' ἀμφότερα ἀδύνατα,
according-to the equality these-things and both impossible
εἴπερ μὴ ἔστιν ἕν. — ἀδύνατα. — ἐπειδὴ δὲ οὐκ ἔστι
if-indeed not is one impossible since and not it-is
τοῖς ἄλλοις ἴσον, ἆρα οὐκ ἀνάγκη καὶ τἆλλα ἐκείνῳ μὴ
to-the others equal then not necessity also the-others to-that not
ἴσα εἶναι; — ἀνάγκη. — τὰ δὲ μὴ ἴσα οὐκ ἄνισα;
equal to-be necessity the(-things) and not equal not unequal
— ναί. — τὰ δὲ ἄνισα οὐ τῷ ἀνίσῳ ἄνισα; — πῶς
yes the(-things) and unequal not to-the unequal unequal how
δ' οὔ; — καὶ ἀνισότητος δὴ μετέχει τὸ ἕν, πρὸς
and not and of-inequality indeed partakes the one in-relation-to
ἣν τἆλλα αὐτῷ ἐστιν ἄνισα; — μετέχει. — ἀλλὰ μέντοι
which the-others to-it are unequal it-partakes but however

ἀνισότητός γε ἐστὶ μέγεθός τε καὶ σμικρότης. — ἔστι
of-inequality at-least is greatness both and smallness it-is
γάρ. — ἔστιν ἄρα καὶ μέγεθός τε καὶ σμικρότης τῷ
for there-is then also greatness both and smallness to-the
τοιούτῳ ἑνί; — κινδυνεύει. — μέγεθος μὴν καὶ σμικρότης
such one it-is-likely greatness indeed and smallness
ἀεὶ ἀφέστατον ἀλλήλοιν. — πάνυ γε. — μεταξὺ
always stand-apart-the-two from-one-another certainly at-least between
ἄρα τι αὐτοῖν ἀεί ἐστιν. — ἔστιν. — ἔχεις οὖν
then something of-them always is it-is can-you then
τι ἄλλο εἰπεῖν μεταξὺ αὐτοῖν ἢ ἰσότητα; — οὔκ,
anything other to-say between them than equality no
ἀλλὰ τοῦτο. — ὅτῳ ἄρα ἔστι μέγεθος καὶ σμικρότης,
but this to-what then is greatness and smallness
ἔστι καὶ ἰσότης αὐτῷ μεταξὺ τούτοιν οὖσα. — φαίνεται.
is also equality to-it between these-two being it-appears
— τῷ δὴ ἑνὶ μὴ ὄντι, ὡς ἔοικε, καὶ ἰσότητος ἂν
to-the indeed one not being as it-seems also of-equality —
μετείη καὶ μεγέθους καὶ σμικρότητος. — ἔοικεν.
would-belong and of-greatness and of-smallness it-seems
καὶ μὴν καὶ οὐσίας γε δεῖ αὐτὸ μετέχειν πῃ. — πῶς
and indeed also of-being at-least must it to-partake somehow how
δή; — ἔχειν αὐτὸ δεῖ οὕτως ὡς λέγομεν· εἰ γὰρ μὴ
indeed to-hold it must so as we-say if for not
οὕτως ἔχει, οὐκ ἂν ἀληθῆ λέγοιμεν ἡμεῖς λέγοντες τὸ
so it-holds not — true-things would-say we saying the
ἓν μὴ εἶναι· εἰ δὲ ἀληθῆ, δῆλον ὅτι ὄντα αὐτὰ λέγομεν.
one not to-be if but true-things clear that being them we-say
ἢ οὐχ οὕτως; — οὕτω μὲν οὖν.
or not so so indeed then

162 — ἐπειδὴ δέ φαμεν ἀληθῆ λέγειν, ἀνάγκη ἡμῖν φάναι καὶ
since and we-say true-things to-say necessity for-us to-say also
ὄντα λέγειν. — ἀνάγκη. — ἔστιν ἄρα, ὡς ἔοικε, τὸ ἓν
being(-things) to-say necessity it-is then as it-seems the one
οὐκ ὄν· εἰ γὰρ μὴ ἔσται μὴ ὄν, ἀλλά πῃ τοῦ εἶναι
not being if for not it-will-be not being but somehow from-the to-be
ἀνήσει πρὸς τὸ μὴ εἶναι, εὐθὺς ἔσται ὄν. — παντάπασι
it-will-let-go toward the not to-be at-once it-will-be being altogether
μὲν οὖν. — δεῖ ἄρα αὐτὸ δεσμὸν ἔχειν τοῦ μὴ εἶναι τὸ
indeed then must then it a-bond to-have of-the not to-be the
εἶναι μὴ ὄν, εἰ μέλλει μὴ εἶναι, ὁμοίως ὥσπερ τὸ ὂν τὸ
to-be not being if it-is-going not to-be alike as the being the
μὴ ὂν ἔχειν μὴ εἶναι, ἵνα τελέως αὖ ᾖ· οὕτως γὰρ
not being to-have not to-be so-that completely again it-may-be so for
ἂν τό τε ὂν μάλιστ' ἂν εἴη καὶ τὸ μὴ ὂν οὐκ ἂν εἴη,
— the both being most — would-be and the not being not — would-be
μετέχοντα τὸ μὲν ὂν οὐσίας τοῦ εἶναι ὄν, μὴ οὐσίας δὲ
partaking the indeed being of-being of-the to-be being not of-being and
τοῦ μὴ εἶναι μὴ ὄν, εἰ μέλλει τελέως εἶναι, τὸ δὲ μὴ ὂν
of-the not to-be not being if it-is-going completely to-be the and not being
μὴ οὐσίας μὲν τοῦ μὴ εἶναι ὄν, οὐσίας δὲ τοῦ εἶναι μὴ
not of-being indeed of-the not to-be being of-being and of-the to-be not
ὄν, εἰ καὶ τὸ μὴ ὂν αὖ τελέως μὴ ἔσται. — ἀληθέστατα.
being if also the not being again completely not will-be most-truly
— οὐκοῦν ἐπείπερ τῷ τε ὄντι τοῦ μὴ εἶναι καὶ τῷ μὴ
therefore since for-the both being of-the not to-be and for-the not
ὄντι τοῦ εἶναι μέτεστι, καὶ τῷ ἑνί, ἐπειδὴ οὐκ ἔστι, τοῦ
being of-the to-be there-is-a-share also for-the one since not it-is of-the
εἶναι ἀνάγκη μετεῖναι εἰς τὸ μὴ εἶναι. — ἀνάγκη. — καὶ
to-be necessity to-belong for the not to-be necessity and

οὐσία δὴ φαίνεται τῷ ἑνί, εἰ μὴ ἔστιν. — φαίνεται.
being indeed appears to-the one if not it-is it-appears
— καὶ μὴ οὐσία ἄρα, εἴπερ μὴ ἔστιν. — πῶς δ' οὔ;
and not being then if-indeed not it-is how and not
οἷόν τε οὖν τὸ ἔχον πως μὴ ἔχειν οὕτω, μὴ c
possible — then the(-thing) holding somehow not to-hold so not
μεταβάλλον ἐκ ταύτης τῆς ἕξεως; — οὐχ οἷόν τε. — πᾶν
changing from this the state not possible — every
ἄρα τὸ τοιοῦτον μεταβολὴν σημαίνει, ὃ ἂν οὕτω τε καὶ
then the such change signifies whatever — so both and
μὴ οὕτως ἔχῃ. — πῶς δ' οὔ; — μεταβολὴ δὲ κίνησις· ἢ τί
not so holds how and not change and motion or what
φήσομεν; — κίνησις. — οὐκοῦν τὸ ἓν ὄν τε καὶ οὐκ ὂν
shall-we-say motion therefore the one being both and not being
ἐφάνη; — ναί. — οὕτως ἄρα καὶ οὐχ οὕτως ἔχον φαίνεται.
appeared yes so then also not so holding it-appears
— ἔοικεν. — καὶ κινούμενον ἄρα τὸ οὐκ ὂν ἓν πέφανται,
it-seems and being-moved then the not being one has-appeared
ἐπείπερ καὶ μεταβολὴν ἐκ τοῦ εἶναι ἐπὶ τὸ μὴ εἶναι ἔχον.
since also change from the to-be to the not to-be having
— κινδυνεύει. — ἀλλὰ μὴν εἰ μηδαμοῦ γέ ἐστι τῶν ὄντων,
it-is-likely but indeed if nowhere at-least it-is of-the beings
ὡς οὐκ ἔστιν εἴπερ μὴ ἔστιν, οὐδ' ἂν μεθίσταιτό ποθέν
as not it-is if-indeed not it-is nor — would-it-move from-somewhere
ποι. — πῶς γάρ; — οὐκ ἄρα τῷ γε μεταβαίνειν
to-somewhere how for not then by-the at-least passing
κινοῖτ' ἄν. — οὐ γάρ. — οὐδὲ μὴν ἐν τῷ αὐτῷ ἂν
it-would-be-moved — not for nor indeed in the same —
στρέφοιτο· ταὐτοῦ γὰρ οὐδαμοῦ ἅπτεται. ὂν γὰρ ἐστὶ τὸ
it-would-revolve the-same for nowhere it-touches being for is the
ταὐτόν· τὸ δὲ μὴ ὂν ἔν τῳ τῶν ὄντων ἀδύνατον εἶναι.
same the and not being in any of-the beings impossible to-be

e — ἀδύνατον γάρ. — οὐκ ἄρα τὸ ἕν γε μὴ ὂν
impossible for not then the one at-least not being
στρέφεσθαι ἂν δύναιτο ἐν ἐκείνῳ ἐν ᾧ μὴ ἔστιν. — οὐ
to-revolve — could in that in which not it-is not
γὰρ οὖν. — οὐδὲ μὴν ἀλλοιοῦταί που τὸ ἓν ἑαυτοῦ, οὔτε
for indeed nor indeed is-altered surely the one from-itself either
τὸ ὂν οὔτε τὸ μὴ ὄν· οὐ γὰρ ἂν ἦν ὁ λόγος ἔτι περὶ
the being or the not being not for — would-be the argument still about
τοῦ ἑνός, εἴπερ ἠλλοιοῦτο αὐτὸ ἑαυτοῦ, ἀλλὰ περὶ ἄλλου
the one if-indeed it-were-altered itself from-itself but about other
τινός. — ὀρθῶς. — εἰ δὲ μήτ' ἀλλοιοῦται μήτε ἐν ταὐτῷ
some rightly if and neither it-is-altered nor in the-same
στρέφεται μήτε μεταβαίνει, ἆρ' ἄν πῃ ἔτι κινοῖτο;
revolves nor changes-place so — somehow still would-it-be-moved
— πῶς γάρ; — τό γε μὴν ἀκίνητον ἀνάγκη ἡσυχίαν
how for the at-least indeed unmoved necessity quiet
ἄγειν, τὸ δὲ ἡσυχάζον ἑστάναι. — ἀνάγκη. — τὸ ἓν ἄρα,
to-keep the and being-quiet to-stand necessity the one then
ὡς ἔοικεν, οὐκ ὂν ἕστηκέ τε καὶ κινεῖται. — ἔοικεν.
as it-seems not being stands both and is-moved it-seems
163 — καὶ μὴν εἴπερ γε κινεῖται, μεγάλη ἀνάγκη αὐτῷ
and indeed if-indeed at-least it-is-moved great necessity for-it
ἀλλοιοῦσθαι· ὅπῃ γὰρ ἄν τι κινηθῇ, κατὰ τοσοῦτον
to-be-altered as-far-as for — anything be-moved by so-much
οὐκέθ' ὡσαύτως ἔχει ὡς εἶχεν, ἀλλ' ἑτέρως. — οὕτως.
no-longer likewise it-holds as it-held but otherwise so
— κινούμενον δὴ τὸ ἓν καὶ ἀλλοιοῦται. — ναί. — καὶ μὴν
being-moved indeed the one also is-altered yes and indeed
μηδαμῇ γε κινούμενον οὐδαμῇ ἂν ἀλλοιοῖτο. — οὐ γάρ.
in-no-way at-least being-moved in-no-way — it-would-be-altered not for
— ᾗ μὲν ἄρα κινεῖται τὸ οὐκ ὂν ἕν, ἀλλοιοῦται· ᾗ
in-which indeed then is-moved the not being one it-is-altered in-which

δὲ μὴ κινεῖται, οὐκ ἀλλοιοῦται. — οὐ γάρ. — τὸ ἓν ἄρα μὴ
and not it-is-moved not it-is-altered not for the one then not
ὂν ἀλλοιοῦταί τε καὶ οὐκ ἀλλοιοῦται. — φαίνεται. — τὸ
being is-altered both and not is-altered it-appears the
δ' ἀλλοιούμενον ἆρ' οὐκ ἀνάγκη γίγνεσθαι μὲν ἕτερον ἢ
and being-altered so not necessity to-become indeed other than
πρότερον, ἀπόλλυσθαι δὲ ἐκ τῆς προτέρας ἕξεως· τὸ δὲ μὴ
before to-perish and from the former state the and not
ἀλλοιούμενον μήτε γίγνεσθαι μήτε ἀπόλλυσθαι; — ἀνάγκη.
being-altered neither to-become nor to-perish necessity
— καὶ τὸ ἓν ἄρα μὴ ὂν ἀλλοιούμενον μὲν γίγνεταί
also the one then not being being-altered indeed becomes
τε καὶ ἀπόλλυται, μὴ ἀλλοιούμενον δὲ οὔτε γίγνεται
both and perishes not being-altered and neither becomes
οὔτε ἀπόλλυται· καὶ οὕτω τὸ ἓν μὴ ὂν γίγνεταί τε καὶ
nor perishes and so the one not being becomes both and
ἀπόλλυται, καὶ οὔτε γίγνεται οὔτ' ἀπόλλυται. — οὐ γὰρ οὖν.
perishes and neither becomes nor perishes not for indeed

XVIII · NOT IN ANY WAY

Starting over, "is not" means simply the absence of being, so the one that is not has no share of being in any way. It cannot come to be or perish, alter, move, or stand. It has no greatness, smallness, or equality, no likeness or otherness, and the others are neither like nor unlike it, nor the same nor other. No "that" or "this," no then or now, and no knowledge, opinion, perception, account, or name belongs to it at all.

αὖθις δὴ ἐπὶ τὴν ἀρχὴν ἴωμεν πάλιν ὀψόμενοι εἰ c
again indeed to the beginning let-us-go back going-to-see whether
ταὐτὰ ἡμῖν φανεῖται ἅπερ καὶ νῦν ἢ ἕτερα. — ἀλλὰ
the-same-things to-us will-appear which-very also now or other but

χρή. — οὐκοῦν ἓν εἰ μὴ ἔστι, φαμέν, τί χρὴ περὶ αὐτοῦ
one-must therefore one if not is we-say what must about it
συμβαίνειν; — ναί. — τὸ δὲ μὴ ἔστιν ὅταν λέγωμεν, ἆρα
result yes the and not is whenever we-say then
μή τι ἄλλο σημαίνει ἢ οὐσίας ἀπουσίαν τούτῳ ᾧ
not anything other does-it-signify than of-being absence to-this to-which
ἂν φῶμεν μὴ εἶναι; — οὐδὲν ἄλλο. — πότερον οὖν, ὅταν
— we-say not to-be nothing other whether then whenever
φῶμεν μὴ εἶναί τι, πῶς οὐκ εἶναί φαμεν αὐτό, πῶς
we-say not to-be anything somehow not to-be do-we-say it somehow
δὲ εἶναι; ἢ τοῦτο τὸ μὴ ἔστι λεγόμενον ἁπλῶς σημαίνει
and to-be or this the not is said simply signifies
ὅτι οὐδαμῶς οὐδαμῇ ἔστιν οὐδέ πῃ μετέχει οὐσίας τό
that in-no-way in-no-place it-is nor somehow partakes of-being the
γε μὴ ὄν; — ἁπλούστατα μὲν οὖν. — οὔτε ἄρα εἶναι
at-least not being most-simply indeed then neither then to-be
δύναιτο ἂν τὸ μὴ ὂν οὔτε ἄλλως οὐδαμῶς οὐσίας μετέχειν.
could — the not being nor otherwise in-any-way of-being to-partake
— οὐ γάρ. — τὸ δὲ γίγνεσθαι καὶ τὸ ἀπόλλυσθαι μή
not for the and to-become and the to-perish surely-not
τι ἄλλο ἦν ἢ τὸ μὲν οὐσίας μεταλαμβάνειν, τὸ δ'
anything other was than the indeed of-being to-take-a-share the and
ἀπολλύναι οὐσίαν; — οὐδὲν ἄλλο. — ᾧ δέ γε μηδὲν
to-lose being nothing other to-which and at-least nothing
τούτου μέτεστιν, οὔτ' ἂν λαμβάνοι οὔτ' ἀπολλύοι αὐτό.
of-this belongs neither — would-it-take nor would-it-lose it
e — πῶς γάρ; — τῷ ἑνὶ ἄρα, ἐπειδὴ οὐδαμῇ ἔστιν,
how for to-the one then since in-no-way it-is
οὔτε ἑκτέον οὔτε ἀπαλλακτέον οὔτε μεταληπτέον οὐσίας
neither to-be-had nor to-be-released nor to-be-shared of-being
οὐδαμῶς. — εἰκός. — οὔτε ἄρα ἀπόλλυται τὸ μὴ ὂν
in-any-way likely neither then perishes the not being

ἓν οὔτε γίγνεται, ἐπείπερ οὐδαμῇ μετέχει οὐσίας. — οὐ
one nor becomes since in-no-way it-partakes of-being not
φαίνεται. — οὐδ᾽ ἄρ᾽ ἀλλοιοῦται οὐδαμῇ· ἤδη γὰρ ἂν
it-appears nor then it-is-altered in-any-way already for —
γίγνοιτό τε καὶ ἀπολλύοιτο τοῦτο πάσχον. — ἀληθῆ.
it-would-become both and would-perish this undergoing true-things
— εἰ δὲ μὴ ἀλλοιοῦται, οὐκ ἀνάγκη μηδὲ κινεῖσθαι;
if and not it-is-altered not necessity not-even to-be-moved
— ἀνάγκη. — οὐδὲ μὴν ἑστάναι φήσομεν τὸ μηδαμοῦ ὄν·
necessity nor indeed to-stand we-shall-say the nowhere being
τὸ γὰρ ἑστὸς ἐν τῷ αὐτῷ τινι δεῖ ἀεὶ εἶναι. — τῷ
the for standing in the same some(-thing) must always to-be the
αὐτῷ· πῶς γὰρ οὔ; — οὕτω δὴ αὖ τὸ μὴ ὂν μήτε
same how for not so indeed again the not being neither
ποτὲ ἑστάναι μήτε κινεῖσθαι λέγωμεν. — μὴ γὰρ οὖν.
ever to-stand nor to-be-moved let-us-say not for indeed
— ἀλλὰ μὴν οὐδ᾽ ἔστι γε αὐτῷ τι τῶν ὄντων· ἤδη 164
but indeed nor is at-least to-it anything of-the beings already
γὰρ ἂν τούτου μετέχον οὐσίας μετέχοι. — δῆλον. — οὔτε
for — of-this partaking of-being it-would-partake clear neither
ἄρα μέγεθος οὔτε σμικρότης οὔτε ἰσότης αὐτῷ ἔστιν.
then greatness nor smallness nor equality to-it is
— οὐ γάρ. — οὐδὲ μὴν ὁμοιότης γε οὐδὲ ἑτεροιότης
not for nor indeed likeness at-least nor otherness
οὔτε πρὸς αὑτὸ οὔτε πρὸς τἆλλα εἴη ἂν αὐτῷ. — οὐ
either toward itself or toward the-others would-be — to-it not
φαίνεται. — τί δέ; τἆλλα ἔσθ᾽ ὅπως ἂν εἴη
it-appears what and the-others is-there-a-way that — they-would-be
αὐτῷ, εἰ μηδὲν αὐτῷ δεῖ εἶναι; — οὐκ ἔστιν. — οὔτε ἄρα
to-it if nothing to-it must to-be not it-is neither then
ὅμοια οὔτε ἀνόμοια οὔτε ταὐτὰ οὔθ᾽ ἕτερά ἐστιν αὐτῷ τὰ
like nor unlike nor the-same nor other are to-it the

ἄλλα. — οὐ γάρ. — τί δέ; τὸ ἐκείνου ἢ τὸ ἐκείνῳ ἢ τὸ
others not for what and the of-that or the to-that or the
τὶ ἢ τὸ τοῦτο ἢ τὸ τούτου ἢ ἄλλου ἢ ἄλλῳ ἢ ποτὲ
something or the this or the of-this or of-other or to-other or once
ἢ ἔπειτα ἢ νῦν ἢ ἐπιστήμη ἢ δόξα ἢ αἴσθησις ἢ λόγος
or hereafter or now or knowledge or opinion or perception or account
ἢ ὄνομα ἢ ἄλλο ὁτιοῦν τῶν ὄντων περὶ τὸ μὴ ὂν
or name or other anything-whatever of-the beings about the not being
ἔσται; — οὐκ ἔσται. — οὕτω δὴ ἓν οὐκ ὂν οὐκ ἔχει
will-be not it-will-be so indeed one not being not holds
πως οὐδαμῇ. — οὔκουν δὴ ἔοικέν γε οὐδαμῇ ἔχειν.
somehow in-any-way not-then indeed it-seems at-least in-any-way to-hold

XIX · THE OTHERS IF ONE IS NOT

If one is not, the others are other than each other in masses. Each mass is unlimited in multitude: what seems smallest turns, as in a dream, into many and huge, each seeming one without being one. As in a shadow-painting, they look one and alike from afar and many and unlike up close. Yet without the one the others neither are nor appear one, many, or anything. Parmenides concludes that whether one is or is not, it and the others all are and are not, appear and do not appear; Aristoteles answers, most true.

c ἔτι δὴ λέγωμεν, ἓν εἰ μὴ ἔστι, τἆλλα τί χρὴ πεπονθέναι.
still indeed let-us-say one if not is the-others what must to-have-undergone
— λέγωμεν γάρ. — ἄλλα μέν που δεῖ αὐτὰ εἶναι· εἰ
let-us-say for others indeed surely must they to-be if
γὰρ μηδὲ ἄλλα ἐστίν, οὐκ ἂν περὶ τῶν ἄλλων λέγοιτο.
for not-even others they-are not — about the others it-would-be-said
— οὕτω. — εἰ δὲ περὶ τῶν ἄλλων ὁ λόγος, τά γε
so if and about the others the argument the at-least

ἄλλα ἕτερά ἐστιν. ἢ οὐκ ἐπὶ τῷ αὐτῷ καλεῖς τό τε
others other are or not to the same do-you-call the both
ἄλλο καὶ τὸ ἕτερον; — ἔγωγε. — ἕτερον δέ γέ πού
other and the other I-at-least other and at-least surely
φαμεν τὸ ἕτερον εἶναι ἑτέρου, καὶ τὸ ἄλλο δὴ ἄλλο
we-say the other to-be than-other and the other indeed other
εἶναι ἄλλου; — ναί. — καὶ τοῖς ἄλλοις ἄρα, εἰ μέλλει
to-be than-other yes also for-the others then if they-are-going
ἄλλα εἶναι, ἔστι τι οὗ ἄλλα ἔσται. — ἀνάγκη.
others to-be there-is something than-which others they-will-be necessity
— τί δὴ οὖν ἂν εἴη; τοῦ μὲν γὰρ ἑνὸς οὐκ
what indeed then — would-it-be than-the indeed for one not
ἔσται ἄλλα, μὴ ὄντος γε. — οὐ γάρ. — ἀλλήλων
they-will-be others not being at-least not for than-one-another
ἄρα ἐστί· τοῦτο γὰρ αὐτοῖς ἔτι λείπεται, ἢ μηδενὸς
then they-are this for to-them still remains or than-nothing
εἶναι ἄλλοις. — ὀρθῶς. — κατὰ πλήθη ἄρα ἕκαστα
to-be others rightly according-to multitudes then each
ἀλλήλων ἄλλα ἐστί· κατὰ ἓν γὰρ οὐκ ἂν οἷά τε
than-one-another others are according-to one for not — possible —
εἴη, μὴ ὄντος ἑνός.
they-would-be not being one
ἀλλ' ἕκαστος, ὡς ἔοικεν, ὁ ὄγκος αὐτῶν ἄπειρός ἐστι d
but each as it-seems the mass of-them unlimited is
πλήθει, κἂν τὸ σμικρότατον δοκοῦν εἶναι λάβῃ τις,
in-multitude even-if the smallest seeming to-be should-take one
ὥσπερ ὄναρ ἐν ὕπνῳ φαίνεται ἐξαίφνης ἀντὶ ἑνὸς
as a-dream in sleep it-appears suddenly instead-of one
δόξαντος εἶναι πολλὰ καὶ ἀντὶ σμικροτάτου παμμέγεθες
seeming to-be many and instead-of smallest very-great
πρὸς τὰ κερματιζόμενα ἐξ αὐτοῦ. — ὀρθότατα.
in-relation-to the(-bits) chopped-up from it most-rightly

— τοιούτων δὴ ὄγκων ἄλλα ἀλλήλων ἂν εἴη
of-such indeed masses others than-one-another — would-be
τἆλλα, εἰ ἑνὸς μὴ ὄντος ἄλλα ἐστίν. — κομιδῇ μὲν οὖν.
the-others if of-one not being others they-are absolutely indeed then
— οὐκοῦν πολλοὶ ὄγκοι ἔσονται, εἷς ἕκαστος φαινόμενος,
therefore many masses will-be one each appearing
ὢν δὲ οὔ, εἴπερ ἓν μὴ ἔσται; — οὕτω. — καὶ ἀριθμὸς
being but not if-indeed one not will-be so also number
δὲ εἶναι αὐτῶν δόξει, εἴπερ καὶ ἓν ἕκαστον, πολλῶν
and to-be of-them will-seem if-indeed also one each many
ὄντων. — πάνυ γε. — καὶ τὰ μὲν δὴ ἄρτια, τὰ δὲ
being certainly at-least and the indeed indeed even the and
περιττὰ ἐν αὐτοῖς ὄντα οὐκ ἀληθῶς φαίνεται, εἴπερ ἓν
odd in them being not truly appear if-indeed one
μὴ ἔσται. — οὐ γὰρ οὖν.
not will-be not for indeed
165 — καὶ μὴν καὶ σμικρότατόν γε, φαμέν, δόξει ἐν αὐτοῖς
and indeed also smallest at-least we-say will-seem in them
ἐνεῖναι· φαίνεται δὲ τοῦτο πολλὰ καὶ μεγάλα πρὸς
to-be-in it-appears and this many and great in-relation-to
ἕκαστον τῶν πολλῶν ὡς σμικρῶν ὄντων. — πῶς δ' οὔ;
each of-the many as small being how and not
— καὶ ἴσος μὴν τοῖς πολλοῖς καὶ σμικροῖς ἕκαστος ὄγκος
and equal indeed to-the many and small each mass
δοξασθήσεται εἶναι· οὐ γὰρ ἂν μετέβαινεν ἐκ μείζονος
will-be-thought to-be not for — it-would-pass from greater
εἰς ἔλαττον φαινόμενος, πρὶν εἰς τὸ μεταξὺ δόξειεν
to less appearing before into the between it-should-seem
ἐλθεῖν, τοῦτο δ' εἴη ἂν φάντασμα ἰσότητος. — εἰκός.
to-come this and would-be — an-appearance of-equality likely
— οὐκοῦν καὶ πρὸς ἄλλον ὄγκον πέρας ἔχων, αὐτός
therefore also in-relation-to other mass limit having itself

γε πρὸς αὑτὸν οὔτε ἀρχὴν οὔτε πέρας οὔτε μέσον
at-least in-relation-to itself neither beginning nor limit nor middle
ἔχων; — πῇ δή; — ὅτι ἀεὶ αὐτῶν ὅταν τίς τι
having how indeed because always of-them whenever one anything
λάβῃ τῇ διανοίᾳ ὥς τι τούτων ὄν, πρό τε τῆς
grasps with-the thought as something of-these being before both the
ἀρχῆς ἄλλη ἀεὶ φαίνεται ἀρχή, μετά τε τὴν τελευτὴν
beginning other always appears beginning after both the end
ἑτέρα ὑπολειπομένη τελευτή, ἔν τε τῷ μέσῳ ἄλλα
another left-behind end in both the middle other(-things)
μεσαίτερα τοῦ μέσου, σμικρότερα δέ, διὰ τὸ μὴ
more-middle than-the middle smaller and because-of the not
δύνασθαι ἑνὸς αὐτῶν ἑκάστου λαμβάνεσθαι, ἅτε οὐκ
to-be-able of-one of-them each to-be-grasped inasmuch-as not
ὄντος τοῦ ἑνός.
being the one
— ἀληθέστατα. — θρύπτεσθαι δὴ οἶμαι κερματιζόμενον c
most-truly to-be-broken-up indeed I-think chopped-up
ἀνάγκη πᾶν τὸ ὄν, ὃ ἄν τις λάβῃ τῇ διανοίᾳ·
necessity all the being which — one grasps with-the thought
ὄγκος γάρ που ἄνευ ἑνὸς ἀεὶ λαμβάνοιτ' ἄν. — πάνυ
mass for surely without one always would-be-grasped — certainly
μὲν οὖν. — οὐκοῦν τό γε τοιοῦτον πόρρωθεν μὲν
indeed then therefore the at-least such from-afar indeed
ὁρῶντι καὶ ἀμβλὺ ἓν φαίνεσθαι ἀνάγκη, ἐγγύθεν δὲ καὶ
to-one-seeing and dimly one to-appear necessity from-near but and
ὀξὺ νοοῦντι πλήθει ἄπειρον ἓν ἕκαστον φανῆναι,
sharply to-one-perceiving in-multitude unlimited one each to-appear
εἴπερ στέρεται τοῦ ἑνὸς μὴ ὄντος; — ἀναγκαιότατον
if-indeed it-is-deprived of-the one not being most-necessary
μὲν οὖν. — οὕτω δὴ ἄπειρά τε καὶ πέρας ἔχοντα καὶ
indeed then so indeed unlimited both and limit having and

ἓν καὶ πολλὰ ἕκαστα τἆλλα δεῖ φαίνεσθαι, ἓν εἰ μὴ
one and many each the-others must to-appear one if not
ἔστιν, τἆλλα δὲ τοῦ ἑνός. — δεῖ γάρ. — οὐκοῦν καὶ
is the-others and than-the one it-must for therefore also
ὅμοιά τε καὶ ἀνόμοια δόξει εἶναι; — πῇ δή; — οἷον
like both and unlike will-they-seem to-be how indeed as
ἐσκιαγραφημένα ἀποστάντι μὲν ἓν πάντα φαινόμενα
shadow-painted to-one-standing-off indeed one all appearing
ταὐτὸν φαίνεσθαι πεπονθέναι καὶ ὅμοια εἶναι. — πάνυ
the-same to-appear to-have-undergone and like to-be certainly
γε. — προσελθόντι δέ γε πολλὰ καὶ ἕτερα καὶ τῷ
at-least to-one-approaching but at-least many and other and by-the
τοῦ ἑτέρου φαντάσματι ἑτεροῖα καὶ ἀνόμοια ἑαυτοῖς.
of-the other appearance of-other-kind and unlike to-themselves
— οὕτω. — καὶ ὁμοίους δὴ καὶ ἀνομοίους τοὺς ὄγκους
so also like indeed and unlike the masses
αὐτούς τε αὑτοῖς ἀνάγκη φαίνεσθαι καὶ ἀλλήλοις.
themselves both to-themselves necessity to-appear and to-one-another
— πάνυ μὲν οὖν. — οὐκοῦν καὶ τοὺς αὐτοὺς καὶ
certainly indeed then therefore also the same and
ἑτέρους ἀλλήλων, καὶ ἁπτομένους καὶ χωρὶς ἑαυτῶν,
other than-one-another and touching and apart from-themselves
καὶ κινουμένους πάσας κινήσεις καὶ ἑστῶτας πάντῃ, καὶ
and being-moved all motions and standing in-every-way and
γιγνομένους καὶ ἀπολλυμένους καὶ μηδέτερα, καὶ πάντα
becoming and perishing and neither and all
που τὰ τοιαῦτα, ἃ διελθεῖν εὐπετὲς ἤδη ἡμῖν, εἰ ἑνὸς
surely the such which to-go-through easy already for-us if of-one
μὴ ὄντος πολλὰ ἔστιν. — ἀληθέστατα μὲν οὖν.
not being many are most-truly indeed then

ἔτι δὴ ἅπαξ ἐλθόντες πάλιν ἐπὶ τὴν ἀρχὴν εἴπωμεν,
still indeed once having-come back to the beginning let-us-say
ἓν εἰ μὴ ἔστι, τἆλλα δὲ τοῦ ἑνός, τί χρὴ εἶναι.
one if not is the-others and than-the one what must to-be
— εἴπωμεν γὰρ οὖν. — οὐκοῦν ἓν μὲν οὐκ ἔσται
let-us-say for indeed therefore one indeed not will-be
τἆλλα. — πῶς γάρ; — οὐδὲ μὴν πολλά γε· ἐν γὰρ
the-others how for nor indeed many at-least in for
πολλοῖς οὖσιν ἐνείη ἂν καὶ ἕν. εἰ γὰρ μηδὲν αὐτῶν
many being would-be-in — also one if for none of-them
ἐστὶν ἕν, ἅπαντα οὐδέν ἐστιν, ὥστε οὐδ' ἂν πολλὰ εἴη.
is one all nothing is so-that nor — many would-be
— ἀληθῆ. — μὴ ἐνόντος δὲ ἑνὸς ἐν τοῖς ἄλλοις, οὔτε
true-things not being-in and one in the others neither
πολλὰ οὔτε ἕν ἐστι τἆλλα. — οὐ γάρ.
many nor one are the-others not for
— οὐδέ γε φαίνεται ἓν οὐδὲ πολλά. — τί δή; 166
nor at-least appears one nor many why indeed
— ὅτι τἆλλα τῶν μὴ ὄντων οὐδενὶ οὐδαμῇ οὐδαμῶς
because the-others of-the not beings with-none in-any-place in-any-way
οὐδεμίαν κοινωνίαν ἔχει, οὐδέ τι τῶν μὴ ὄντων παρὰ
any communion have nor anything of-the not beings with
τῶν ἄλλων τῴ̣ ἐστιν· οὐδὲν γὰρ μέρος ἐστὶ τοῖς μὴ οὖσιν.
of-the others any is no for part is to-the not being
— ἀληθῆ. — οὐδ' ἄρα δόξα τοῦ μὴ ὄντος παρὰ τοῖς
true-things nor then opinion of-the not being beside the
ἄλλοις ἐστὶν οὐδέ τι φάντασμα, οὐδὲ δοξάζεται οὐδαμῇ
others is nor any appearance nor is-opined in-any-place
οὐδαμῶς τὸ μὴ ὂν ἐπὶ τῶν ἄλλων. — οὐ γὰρ οὖν.
in-any-way the not being in-the-case-of the others not for indeed
— ἓν ἄρα εἰ μὴ ἔστιν, οὐδὲ δοξάζεταί τι τῶν ἄλλων ἓν
one then if not is nor is-opined any of-the others one

εἶναι οὐδὲ πολλά· ἄνευ γὰρ ἑνὸς πολλὰ δοξάσαι ἀδύνατον.
to-be nor many without for one many to-opine impossible
— ἀδύνατον γάρ. — ἓν ἄρα εἰ μὴ ἔστι, τἆλλα οὔτε ἔστιν
impossible for one then if not is the-others neither are
οὔτε δοξάζεται ἓν οὐδὲ πολλά. — οὐκ ἔοικεν. — οὐδ᾽
nor are-opined one nor many not it-seems nor
ἄρα ὅμοια οὐδὲ ἀνόμοια. — οὐ γάρ. — οὐδὲ μὴν τὰ
then like nor unlike not for nor indeed the
αὐτά γε οὐδ᾽ ἕτερα, οὐδὲ ἁπτόμενα οὐδὲ χωρίς, οὐδὲ
same at-least nor other nor touching nor apart nor
ἄλλα ὅσα ἐν τοῖς πρόσθεν διήλθομεν ὡς φαινόμενα
others as-many-as in the(-things) before we-went-through as appearing
αὐτά, τούτων οὔτε τι ἔστιν οὔτε φαίνεται τἆλλα, ἓν
they of-these neither any are nor appear the-others one
εἰ μὴ ἔστιν. — ἀληθῆ. — οὐκοῦν καὶ συλλήβδην εἰ
if not is true-things therefore also in-sum if
εἴποιμεν, ἓν εἰ μὴ ἔστιν, οὐδέν ἐστιν, ὀρθῶς ἂν εἴποιμεν;
we-should-say one if not is nothing is rightly — would-we-say
— παντάπασι μὲν οὖν. — εἰρήσθω τοίνυν τοῦτό τε καὶ
altogether indeed then let-it-be-said then this both and
ὅτι, ὡς ἔοικεν, ἓν εἴτ᾽ ἔστιν εἴτε μὴ ἔστιν, αὐτό τε καὶ
that as it-seems one whether is or not is itself both and
τἆλλα καὶ πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα πάντα
the-others both in-relation-to themselves and in-relation-to one-another all
πάντως ἐστί τε καὶ οὐκ ἔστι καὶ φαίνεταί τε καὶ οὐ
wholly are both and not are and appear both and not
φαίνεται. — ἀληθέστατα.
appear most-truly
